This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

Über dieses Buch

Dies ist ein digitales Exemplar eines Buches, das seit Generationen in den Regalen der Bibliotheken aufbewahrt wurde, bevor es von Google im Rahmen eines Projekts, mit dem die Bücher dieser Welt online verfügbar gemacht werden sollen, sorgfältig gescannt wurde.

Das Buch hat das Urheberrecht überdauert und kann nun öffentlich zugänglich gemacht werden. Ein öffentlich zugängliches Buch ist ein Buch, das niemals Urheberrechten unterlag oder bei dem die Schutzfrist des Urheberrechts abgelaufen ist. Ob ein Buch öffentlich zugänglich ist, kann von Land zu Land unterschiedlich sein. Öffentlich zugängliche Bücher sind unser Tor zur Vergangenheit und stellen ein geschichtliches, kulturelles und wissenschaftliches Vermögen dar, das häufig nur schwierig zu entdecken ist.

Gebrauchsspuren, Anmerkungen und andere Randbemerkungen, die im Originalband enthalten sind, finden sich auch in dieser Datei – eine Erinnerung an die lange Reise, die das Buch vom Verleger zu einer Bibliothek und weiter zu Ihnen hinter sich gebracht hat.

Nutzungsrichtlinien

Google ist stolz, mit Bibliotheken in partnerschaftlicher Zusammenarbeit öffentlich zugängliches Material zu digitalisieren und einer breiten Masse zugänglich zu machen. Öffentlich zugängliche Bücher gehören der Öffentlichkeit, und wir sind nur ihre Hüter. Nichtsdestotrotz ist diese Arbeit kostspielig. Um diese Ressource weiterhin zur Verfügung stellen zu können, haben wir Schritte unternommen, um den Missbrauch durch kommerzielle Parteien zu verhindern. Dazu gehören technische Einschränkungen für automatisierte Abfragen.

Wir bitten Sie um Einhaltung folgender Richtlinien:

+ *Nutzung der Dateien zu nichtkommerziellen Zwecken* Wir haben Google Buchsuche für Endanwender konzipiert und möchten, dass Sie diese Dateien nur für persönliche, nichtkommerzielle Zwecke verwenden.

+ *Keine automatisierten Abfragen* Senden Sie keine automatisierten Abfragen irgendwelcher Art an das Google-System. Wenn Sie Recherchen über maschinelle Übersetzung, optische Zeichenerkennung oder andere Bereiche durchführen, in denen der Zugang zu Text in großen Mengen nützlich ist, wenden Sie sich bitte an uns. Wir fördern die Nutzung des öffentlich zugänglichen Materials für diese Zwecke und können Ihnen unter Umständen helfen.

+ *Beibehaltung von Google-Markenelementen* Das "Wasserzeichen" von Google, das Sie in jeder Datei finden, ist wichtig zur Information über dieses Projekt und hilft den Anwendern weiteres Material über Google Buchsuche zu finden. Bitte entfernen Sie das Wasserzeichen nicht.

+ *Bewegen Sie sich innerhalb der Legalität* Unabhängig von Ihrem Verwendungszweck müssen Sie sich Ihrer Verantwortung bewusst sein, sicherzustellen, dass Ihre Nutzung legal ist. Gehen Sie nicht davon aus, dass ein Buch, das nach unserem Dafürhalten für Nutzer in den USA öffentlich zugänglich ist, auch für Nutzer in anderen Ländern öffentlich zugänglich ist. Ob ein Buch noch dem Urheberrecht unterliegt, ist von Land zu Land verschieden. Wir können keine Beratung leisten, ob eine bestimmte Nutzung eines bestimmten Buches gesetzlich zulässig ist. Gehen Sie nicht davon aus, dass das Erscheinen eines Buchs in Google Buchsuche bedeutet, dass es in jeder Form und überall auf der Welt verwendet werden kann. Eine Urheberrechtsverletzung kann schwerwiegende Folgen haben.

Über Google Buchsuche

Das Ziel von Google besteht darin, die weltweiten Informationen zu organisieren und allgemein nutzbar und zugänglich zu machen. Google Buchsuche hilft Lesern dabei, die Bücher dieser Welt zu entdecken, und unterstützt Autoren und Verleger dabei, neue Zielgruppen zu erreichen. Den gesamten Buchtext können Sie im Internet unter `http://books.google.com` durchsuchen.

A 477790



FROM THE LIBRARY OF
Professor Karl Heinrich Rau
OF THE UNIVERSITY OF HEIDELBERG
PRESENTED TO THE
UNIVERSITY OF MICHIGAN
BY
Mr. Philo Parsons
OF DETROIT
1871

LYSIAE

ORATIONES.

AD

OPTIMORUM LIBRORUM FIDEM

ACCURATE EDITAE.

EDITIO STEREOTYPA.

LIPSIAE
SUMPTIBUS OTTONIS HOLTZE.
1868.

University MICHIGAN

IMPRESSIT F. L. METZGER, LIPSIAE.

ΛΥΣΙΟΥ

ΥΠΕΡ ΤΟΥ

ΕΡΑΤΟΣΘΕΝΟΥΣ ΦΟΝΟΥ

ΑΠΟΛΟΓΙΑ.

ΥΠΟΘΕΣΙΣ.

Ὁ φεύγων δίκην φόνου Εὐφίλητος τὸν Ἐρατοσθένην Οἰηθεὶς τὴν αὐτοῦ γυναῖκα μοιχεύοντα ἐπ' αὐτοφώρῳ λαβὼν ἀπέκτεινε.

Περὶ πολλοῦ ἂν ποιησαίμην, ὦ ἄνδρες, τὸ τοιοῦτους ὑμᾶς ἐμοὶ δικαστὰς περὶ τούτου τοῦ πράγματος γενέσθαι, οἱοίπερ ἂν ὑμῖν αὐτοῖς εἴητε τοιαῦτα πεπονθότες. εὖ γὰρ οἶδ', ὅτι, εἰ τὴν αὐτὴν γνώμην περὶ τῶν ἄλλων ἔχοιτε, ἥνπερ περὶ ὑμῶν αὐτῶν, οὐκ ἂν εἴη, ὅστις οὐκ ἐπὶ τοῖς γεγενημένοις ἀγανακτοιη· ἀλλὰ πάντες ἂν περὶ τῶν τὰ τοιαῦτα ἐπιτηδευόντων τὰς ζημίας μικρὰς ἡγοῖσθε. καὶ ταῦτα οὐκ ἂν εἰη

μόνον καθ' ὑμῖν οὕτως ἐγνωσμένα, ἀλλ' ἐν ἅπασι τῇ Ἑλλάδι. περὶ τούτου γὰρ μόνου τοῦ ἀδικήματος καὶ ἐν δημοκρατίᾳ καὶ ὀλιγαρχίᾳ ἡ αὐτη τιμωρία τοῖς ἀσθενεστάτοις πρὸς τοὺς τὰ μέγιστα δυναμένους ἀποδέδοται· ὥστε τὸν χείριστον τῶν αὐτῶν τυγχάνειν τῷ βελτίστῳ. οὕτως, ὦ ἄνδρες, ταύτην τὴν ὕβριν ἅπαντες ἄνθρωποι δεινοτάτην ἡγοῦνται. περὶ μὲν οὖν τοῦ μεγέθους τῆς ζημίας ἅπαντας ὑμᾶς νομίζω τὴν αὐτὴν διάνοιαν ἔχειν, καὶ οὐδένα οὕτως ὀλιγώρως διακεῖσθαι, ὅστις οἴεται δεῖν συγγνώμης τυγχάνειν, ἢ μικρᾶς ζημίας ἄξίους ἡγεῖται τοὺς τῶν τοιούτων ἔργων αἰτίους· ἡγοῦμαι δὲ, ὦ ἄνδρες, τοῦτό με δεῖν ἐπιδεῖξαι, ὡς ἐμοίχευεν Ἐρατοσθένης τὴν γυναῖκα τὴν ἐμὴν, καὶ ἐκείνην τε διέφθειρε, καὶ τοὺς παῖδας τοὺς ἐμοὺς ᾔσχυνε, καὶ ἐμὲ αὐτὸν ὕβρισεν, εἰς τὴν οἰκίαν τὴν ἐμὴν εἰσιών. καὶ οὔτε ἔχθρα ἐμοὶ καὶ ἐκείνῳ οὐδεμία ἦν, πλὴν ταύτης, οὔτε χρημάτων ἕνεκα ἔπραξα ταῦτα, ἵνα πλούσιος ἐκ πένητος γένωμαι, οὔτε ἄλλου κέρδους οὐδενός, πλὴν τῆς κατὰ νόμους τιμωρίας.

Ἐγὼ τοίνυν ἐξ ἀρχῆς ὑμῖν ἅπαντα ἐπιδείξω τὰ ἐμαυτοῦ πράγματα, οὐδὲν παραλείπων, ἀλλὰ λέγων τἀληθῆ. ταύτην γὰρ ἐμαυτῷ μόνην ἡγοῦμαι σωτηρίαν, ἐὰν ὑμῖν εἰπεῖν δυνηθῶ ἅπαντα τὰ πεπραγμένα. ἐγὼ γὰρ, ὦ ἄνδρες, ἐπειδὴ ἔδοξέ μοι γῆμαι, καὶ γυναῖκα ἠγαγόμην εἰς τὴν οἰκίαν, τὸν μὲν ἄλλον χρόνον οὕτω διεκείμην, ὥστε μήτε λυπεῖν μήτε λίαν ἐπ' ἐκείνῃ εἶναι, ὅ, τι ἂν θέλοι ποιεῖν· ἐφύλαττόν τε ὡς οἷόν τε ἦν, καὶ προσεῖχον τὸν νοῦν, ὥσπερ εἰκὸς

ἦν. ἐπειδὴ δέ μοι παιδίον γίγνεται, ἐπίστευον ἤδη, καὶ πάντα τὰ ἐμαυτοῦ ἐκείνῃ παρέδωκα, ἡγούμενος τεύτην οἰκειότητα μεγίστην εἶναι. ἐν μὲν οὖν τῷ πρώτῳ χρόνῳ, ὦ Ἀθηναῖοι, πασῶν ἦν βελτίστη· καὶ γὰρ οἰκονόμος δεινὴ, καὶ φειδωλὸς ἀγαθὴ, καὶ ἀκριβῶς πάντα διοικοῦσα. Ἐπειδὴ δέ μοι ἡ μήτηρ ἐτελεύτησε, πάντων τῶν κακῶν ἀποθανοῦσα αἰτία μοι γεγένηται. ἐπ' ἐκφορὰν γὰρ αὐτῇ ἀκολουθήσασα ἡ ἐμὴ γυνὴ, ὑπὸ τοῦτου τοῦ ἀνθρώπου ὀφθεῖσα, χρόνῳ διαφθείρεται. ἐπιτηρῶν γὰρ τὴν θεράπαιναν τὴν εἰς τὴν ἀγορὰν βαδίζουσαν, καὶ λόγους προσφέρων, ἀπώλεσεν αὐτήν. πρῶτον μὲν οὖν, ὦ ἄνδρες, (δεῖ γὰρ καὶ ταῦθ' ὑμῖν διηγήσασθαι,) οἰκίδιόν ἐστί μοι διπλοῦν, ἴσα ἔχον τὰ ἄνω τοῖς κάτω, κατὰ τὴν γυναικωνῖτιν καὶ κατὰ τὴν ἀνδρωνῖτιν. ἐπειδὴ δὲ τὸ παιδίον ἐγένετο ἡμῖν, ἡ μήτηρ αὐτὸ ἐθήλαζεν· ἵνα δὲ μὴ, ὁπότε λούεσθαι δέοι, κινδυνεύοι κατὰ τῆς κλίμακος καταβαίνουσα, ἐγὼ μὲν ἄνω διῃτώμην, αἱ δὲ γυναῖκες κάτω. καὶ οὕτως ἤδη συνειθισμένον ἦν, ὥστε πολλάκις ἡ γυνὴ ἀπῄει κάτω καθευδήσουσα ὡς τὸ παιδίον, ἵνα τὸν τιτθὸν αὐτῷ διδῷ, καὶ μὴ βοᾷ. καὶ ταῦτα πολὺν χρόνον οὕτως ἐγίνετο, καὶ ἐγὼ οὐδέποτε ὑπώπτευσα· ἀλλ' οὕτως ἠλιθίως διεκείμην, ὥστε ᾠμην τὴν ἐμαυτοῦ γυναῖκα πασῶν σωφρονεστάτην εἶναι τῶν ἐν τῇ πόλει. προϊόντος δὲ τοῦ χρόνου, ὦ ἄνδρες, ἦκον μὲν ἀπροσδοκήτως ἐξ ἀγροῦ, μετὰ δὲ τὸ δεῖπνον τὸ παιδίον ἐβόα, καὶ ἐδυσκόλαινεν ὑπὸ τῆς θεραπαίνης ἐπίτηδες λυπούμενον, ἵνα ταῦτα ποιῇ. ὁ γὰρ ἄνθρωπος ἔνδον ἦν (ὥστε-

ρον γὰρ ἅπαντα ἐπυθόμην·) καὶ ἐγὼ τὴν γυναῖκα ἀπιέναι ἐκέλευον, καὶ δοῦναι τῷ παιδὶ τὸν μαστὸν ἵνα παύσηται κλαίων. ἡ δὲ τὸ μὲν πρῶτον οὐκ ἤθελεν, ὡς ἂν ἀσμένη με ἐωρακυῖα, ἤκοντα δὴ διὰ χρόνου. ἐπειδὴ δὲ ἐγὼ ὠργιζόμην, καὶ ἐκέλευον ἀπιέναι, Ἵνα σύ γε (ἔφη) πειρᾷς ἐνταῦθα τὴν παιδίσκην· καὶ πρότερον δὲ μεθύων εἵλκες αὐτήν. Κἀγὼ μὲν ἐγέλων· ἐκείνη δὲ ἀναστᾶσα καὶ ἀπιοῦσα προσέτίθησι τὴν θύραν, προσποιουμένη παίζειν, καὶ τὴν κλεῖν ἐφέλκεται. κἀγὼ τούτων οὐδὲν ἐνθυμούμενος, οὐδ' ὑπονοῶν, ἐκάθευδον ἄσμενος, ἥκων ἐξ ἀγροῦ. ἐπειδὴ δὲ ἦν πρὸς ἡμέραν, ἦκεν ἐκείνη, καὶ τὴν θύραν ἀνέῳξεν. ἐρομένου δέ μου, τί αἱ θύραι νύκτωρ ψοφοῖεν, ἔφασκε τὸν λύχνον ἀποσβεσθῆναι τὸν παρὰ τῷ παιδίῳ, εἶτα ἐκ τῶν γειτόνων ἀνάψασθαι. ἐσιώπων ἐγὼ, καὶ ταῦτα οὕτως ἔχειν ἡγούμην. ἔδοξε δέ μοι, ὦ ἄνδρες, τὸ πρόσωπον ἐψιμμυθιῶσθαι, τοῦ ἀδελφοῦ τεθνεῶτος οὔπω τριάκονθ' ἡμέρας. ὅμως δ' οὐδ' οὕτως οὐδὲν εἰπὼν περὶ τοῦ πράγματος, ἐξελθὼν ᾠχόμην ἔξω σιωπῇ. μετὰ δὲ ταῦτα, ὦ ἄνδρες, χρόνου μεταξὺ διαγενομένου, καὶ ἐμοῦ πολὺ ἀπολελειμμένου τῶν ἐμαυτοῦ κακῶν, προσέρχεταί μοί τις πρεσβύτις ἄνθρωπος, ὑπὸ γυναικὸς ἐπιπεμφθεῖσα, ἣν ἐκεῖνος ἐμοίχευεν, ὡς ἐγὼ ὕστερον ἤκουον· αὐτὴ δὲ ὀργιζομένη, καὶ ἀδικεῖσθαι νομίζουσα, ὅτι οὐκ ἔτι ὁμοίως ἐφοίτα παρ' αὐτὴν, ἐφύλαττεν, ἕως ἐξεῦρεν ὅ, τι εἴη τὸ αἴτιον. προσελθοῦσα οὖν μοι ἐγγὺς ἡ ἄνθρωπος τῆς οἰκίας τῆς ἐμῆς, ἐπιτηροῦσα, Εὐφέλπτε (ἔφη) μηδεμιᾷ πολυπραγμοσύνῃ προσελήλυθέ-

καὶ με νόμιζε πρός σε. ὁ γὰρ ἀνὴρ ὁ ὑβρίζων
εἰς σὲ καὶ τὴν γυναῖκα τὴν σὴν, ἐχθρὸς ὢν
ἡμῖν τυγχάνει. ἐὰν οὖν λάβῃς τὴν θεράπαιναν τὴν
εἰς τὴν ἀγορὰν βαδίζουσαν καὶ διακονοῦσαν ὑμῖν,
καὶ βασανίσῃς, ἅπαντα πεύσῃ. ἔστι δ' (ἔφη) Ἐρα-
τοσθένης Οἰῆθεν ὁ ταῦτα πράττων, ὃς οὐ μόνον τὴν
σὴν γυναῖκα διέφθαρκεν, ἀλλὰ καὶ ἄλλας πολλάς.
ταύτην γὰρ τὴν τέχνην ἔχει. ταῦτα εἰποῦσα, ὦ ἄν-
δρες, ἐκείνη μὲν ἀπηλλάγη, ἐγὼ δὲ εὐθέως ἐταραττό-
μην· καὶ πάντα μου εἰς τὴν γνώμην εἰσῄει. καὶ με-
στὸς ἦν ὑποψίας, ἐνθυμούμενος μέν, ὡς ἀπεκλείσθην
ἐν τῷ δωματίῳ, ἀναμιμνησκόμενος δέ, ὅτι ἐν ἐκείνῃ
τῇ νυκτὶ ἐψόφει ἡ μέταυλος θύρα καὶ ἡ αὔλειος, (ὃ
οὐδέποτε ἐγένετο) ἔδοξε τέ μοι ἡ γυνὴ ἐψιμμυθιῶ-
σθαι. ταῦτά μου πάντα εἰς τὴν γνώμην εἰσῄει, καὶ
μεστὸς ἦν ὑποψίας. ἐλθὼν δὲ οἴκαδε, ἐκέλευον ἀκο-
λουθεῖν μοι τὴν θεράπαιναν εἰς τὴν ἀγοράν. ἀγα-
γὼν δ' αὐτὴν ὡς τῶν ἐπιτηδείων τινὰ, ἔλεγον, ὅτι
οὐ πάντα εἴην πεπυσμένος τὰ γινόμενα ἐν τῇ οἰκίᾳ.
ἡ οὖν (ἔφην) ἔξεστι δυοῖν ὁπότερον βούλει ἑλέ-
σθαι· ἢ μαστιγωθεῖσαν εἰς μύλωνα ἐμπεσεῖν, καὶ
μηδέποτε παύσασθαι κακοῖς τοιούτοις συνεχομένην,
ἀπειποῦσαν ἅπαντα ταληθῆ, μηδὲν παθεῖν κα-
κὸν, ἀλλὰ συγγνώμης παρ' ἐμοῦ τυχεῖν τῶν ἡμαρτη-
μένων. ψεύσῃ δὲ μηδὲν, ἀλλὰ πάντα ταληθῆ λέγε.
ἐκείνη τὸ μὲν πρῶτον ἔξαρνος ἦν, καὶ ποιεῖν ἐκέ-
λευεν ὅ, τι βούλομαι· οὐδὲν γὰρ εἰδέναι· ἐπειδὴ δὲ
ἐπείσθην Ἐρατοσθένους πρὸς αὐτὴν, καὶ εἶπον,
ὅτι ὁ φοιτῶν εἴη πρὸς τὴν γυναῖκα, ἐξαπλάγη,

οἱ μὴ τὰ δίκαια πράττοντες, οὐχ ὁμολογοῦσι τοὺς ἐχθροὺς λέγειν τἀληθῆ· ἀλλ᾽ αὐτοὶ ψευδόμενοι, καὶ τὰ τοιαῦτα μηχανώμενοι, ὀργὰς τοῖς ἀκούουσι κατὰ τῶν τὰ δίκαια πραττόντων παρασκευάζουσι. πρῶτον μὲν οὖν ἀνάγνωθι τὸν νόμον. ΝΟΜΟΣ. Οὐκ ἠμφισβήτει, ὦ ἄνδρες, ἀλλ᾽ ὡμολόγει ἀδικεῖν· καὶ ὅπως μὲν μὴ ἀποθάνῃ ἠντιβόλει καὶ ἱκέτευεν, ἀποτίνειν δ᾽ ἕτοιμος ἦν χρήματα. ἐγὼ δὲ τῷ μὲν ἐκείνου τιμήματι οὐ συνεχώρουν, τὸν δὲ τῆς πόλεως νόμον ἠξίουν εἶναι κυριώτερον· καὶ ταύτην ἔλαβον τὴν δίκην, ἣν ὑμεῖς δικαιοτάτην εἶναι ἡγησάμενοι τοῖς τὰ τοιαῦτα ἐπιτηδεύουσιν ἐτάξατε. καί μοι ἀνάβητε τούτων μάρτυρες. ΜΑΡΤΤΡΙΑΙ. Ἀνάγνωθι δέ μοι καὶ τοῦτον τὸν νόμον ἐκ τῆς στήλης τῆς ἐξ Ἀρείου πάγου. ΝΟΜΟΣ. Ἀκούετε, ὦ ἄνδρες, ὅτι αὐτῷ τῷ δικαστηρίῳ τῷ ἐξ Ἀρείου πάγου, ᾧ καὶ πάτριόν ἐστι, καὶ ἐφ᾽ ὑμῶν ἀποδέδοται τοῦ φόνου τὰς δίκας δικάζειν, διαῤῥήδην εἴρηται, τοῦτον μὴ καταγινώσκειν φόνου, ὃς ἂν ἐπὶ δάμαρτι τῇ ἑαυτοῦ μοιχὸν λαβὼν, ταύτην τὴν τιμωρίαν ποιήσηται. καὶ οὕτω σφόδρα ὁ νομοθέτης ἐπὶ ταῖς γαμεταῖς γυναιξὶ δίκαια ταῦτα ἡγήσατο εἶναι, ὥστε καὶ ἐπὶ ταῖς παλλακαῖς, ταῖς ἐλάττονος ἀξίαις, τὴν αὐτὴν δίκην ἐπέθηκε. καίτοι δῆλον, ὅτι, εἴ τινα εἶχε ταύτης μείζω τιμωρίαν ἐπὶ ταῖς γαμεταῖς, ἐποίησεν ἄν· νῦν δὲ οὐχ οἷός τε ὢν ταύτης ἰσχυροτέραν ἐπ᾽ ἐκείναις ἐξευρεῖν, τὴν αὐτὴν καὶ ἐπὶ ταῖς παλλακαῖς ἠξίωσε γίνεσθαι. ἀνάγνωθι δέ μοι καὶ τοῦτον τὸν νόμον. ΝΟΜΟΣ. Ἀκούετε, ἄνδρες, ὅτι κελεύει,

ἐάν τις ἄνθρωπον ἐλεύθερον, ἢ παῖδα, αἰσχύνῃ βίᾳ διπλῆν τὴν βλάβην ὀφείλειν· ἐὰν δὲ γυναῖκας, ἐφ οἷσπερ ἀποκτείνειν ἔξεστιν, ἐν τοῖς αὐτοῖς ἐνέχεσθαι. οὕτως, ὦ ἄνδρες, τοὺς βιαζομένους ἐλάττονος ζημίας ἀξίους ἡγήσατο εἶναι ἢ τοὺς πείθοντας. τῶν μὲν γὰρ θάνατον κατέγνω, τοῖς δὲ διπλῆν ἐποίησε τὴν βλάβην· ἡγούμενος, τοὺς μὲν διαπραττομένους βίᾳ, ὑπὸ τῶν βιασθέντων μισεῖσθαι· τοὺς δὲ πείσαντας, οὕτως αὐτῶν τὰς ψυχὰς διαφθείρειν, ὥστ' οἰκειοτέρας αὑτοῖς ποιεῖν τὰς ἀλλοτρίας γυναῖκας, ἢ τοῖς ἀνδράσι, καὶ πᾶσαν ἐπ' ἐκείνοις τὴν οἰκίαν γεγονέναι, καὶ τοὺς παῖδας ἀδήλους εἶναι, ὁποτέρων τυγχάνουσιν ὄντες, τῶν ἀνδρῶν, ἢ τῶν μοιχῶν. ἀνθ' ὧν ὁ τὸν νόμον τιθεὶς θάνατον αὐτοῖς ἐποίησε τὴν ζημίαν. ἐμοῦ τοίνυν, ὦ ἄνδρες, οἱ μὲν νόμοι οὐ μόνον ἀπεγνωκότες εἰσὶ μὴ ἀδικεῖν, ἀλλὰ καὶ κεκελευκότες ταύτην τὴν δίκην λαμβάνειν. ἐν ὑμῖν δ' ἐστὶ, πότερον χρὴ τούτους ἰσχυροὺς ἢ μηδενὸς ἀξίους εἶναι. ἐγὼ μὲν γὰρ οἶμαι πάσας τὰς πόλεις διὰ τοῦτο τοὺς νόμους τίθεσθαι, ἵνα, περὶ ὧν ἂν πραγμάτων ἀπορῶμεν, παρὰ τούτους ἐλθόντες σκεψώμεθα, ὅ, τι ἡμῖν ποιητέον ἐστίν. οὗτοι τοίνυν περὶ τῶν τοιούτων τοῖς ἀδικουμένοις τοιαύτην δίκην λαμβάνειν παρακελεύονται, οἷς ὑμᾶς ἀξιῶ τὴν αὐτὴν γνώμην ἔχειν. εἰ δὲ μὴ, τοιαύτην ἄδειαν τοῖς μοιχοῖς ποιήσετε, ὡς καὶ τοὺς κλέπτας ἐπαρεῖτε φάσκειν μοιχοὺς εἶναι· εὖ εἰδότας, ὅτι, ἐὰν ταύτην τὴν αἰτίαν περὶ ἑαυτῶν λέγωσι, καὶ ἐπὶ τούτῳ φάσκωσιν εἰς τὰς ἀλλοτρίας οἰκίας εἰσιέναι, οὐδεὶς αὐτῶν ἅψεται.

πάντες γὰρ εἴσονται, ὅτι τοὺς μὲν νόμους τῆς με
χείας χαίρειν ἐᾷν δεῖ, τὴν δὲ ψῆφον τὴν ὑμετέρ
δεδιέναι. αὕτη γάρ ἐστι πάντων τῶν ἐν τῇ πό
κυριωτάτη. σκέψασθε, ὦ ἄνδρες. κατηγοροῦσι γά
μου, ὡς ἐγὼ τὴν θεράπαιναν ἐν ἐκείνῃ τῇ ἡμέρ
μετελθεῖν ἐκέλευσα τὸν νεανίσκον. ἐγὼ δὲ, ὦ ἄν
δρες, δίκαιον ἐμὲ ἂν ποιεῖν ἡγούμην, ὥτινιοῦν τρό
πῳ τὸν τὴν γυναῖκα τὴν ἐμὴν διαφθείραντα λαμ
βάνων. εἰ μὲν γὰρ λόγων εἰρημένων, ἔργου δὲ μη
δενὸς γεγενημένου, μετελθεῖν ἐκέλευον ἐκεῖνον, ἠδί
κουν ἄν· εἰ δὲ ἤδη πάντων διαπεπραγμένων, κα
πολλάκις εἰσεληλυθότος εἰς τὴν οἰκίαν τὴν ἐμὴν, ᾧ
τινιοῦν τρόπῳ ἐλάμβανον αὐτὸν, σωφρονεῖν ἐμαι
τὸν ἡγούμην. σκέψασθε δὲ, ὅτι καὶ ταῦτα ψεύδο
ται. ῥᾳδίως δὲ ἐκ τῶνδε γνώσεσθε. ἐμοὶ γὰρ,
ἄνδρες, (ὅπερ καὶ πρότερον εἶπον) φίλος ὢν Σώστρα
τος καὶ οἰκείως διακείμενος, ἀπαντήσας ἐξ ἀγρο
περὶ ἥλιον δυσμὰς συνεδείπνει· καὶ ἐπειδὴ καλῶ
εἶχεν αὐτῷ, ἀπιὼν ᾤχετο. καίτοι πρῶτον μὲν, ὦ ἄν
δρες, ἐνθυμήθητε, [ὅτι,] εἰ ἐν ἐκείνῃ τῇ νυκτὶ ἐγ
ἐπεβούλευον Ἐρατοσθένει, πότερον ἦν μοι κρεῖττο
αὐτῷ ἐτέρωθι δειπνεῖν, ἢ τὸν συνδειπνήσοντά μ
εἰσαγαγεῖν. οὕτω γὰρ ἂν ἧττον ἐτόλμησεν ἐκεῖνο
εἰσελθεῖν εἰς τὴν οἰκίαν. εἶτα δοκῶ ἂν ὑμῖν, τὸ
συνδειπνοῦντα ἀφεὶς, μόνος καταλειφθῆναι, καὶ ἐ
ρημος γενέσθαι, ἢ κελεύειν ἐκεῖνον μένειν, ἵνα μει
ἐμοῦ τὸν μοιχὸν ἐτιμωρεῖτο; ἔπειτα, ὦ ἄνδρες, οὐ
ἂν δοκῶ ὑμῖν, τοῖς ἐπιτηδείοις μεθ' ἡμέραν παραγ
γεῖλαι, καὶ κελεῦσαι αὐτοὺς συλλεγῆναι εἰς οἰκία

τῶν φίλων τῶν ἐγγυτάτω, μᾶλλον, ἢ, ἐπειδὴ τάχιστα ἠσθόμην, τῆς νυκτὸς περιτρέχειν, οὐκ εἰδὼς, ὄντινα οἴκοι καταλήψομαι καὶ ὄντινα ἔξω; καὶ ὡς Ἁρμόδιον μὲν καὶ τὸν δεῖνα ἦλθον, οὐκ ἐπιδημοῦντας, (οὐ γὰρ ᾔδειν) ἑτέρους δὲ οὐκ ἔνδον ὄντας κατέλαβον· οὓς δ' οἷός τε ἦν λαβὼν ἐβιάδιζον. καίτοιγε, εἰ προῄδειν, οὐκ ἂν δοκῶ ὑμῖν καὶ θεράποντας παρασκευάσασθαι, καὶ τοῖς φίλοις παραγγεῖλαι, ἵν' ὡς ἀσφαλέστατα μὲν αὐτὸς εἰσήειν (τί γὰρ ᾔδειν, εἴ τι κἀκεῖνος εἶχε σιδήριον;) ὡς μετὰ πλείστων δὲ μαρτύρων τὴν τιμωρίαν ἐποιούμην; νῦν δ' οὐδὲν εἰδὼς τῶν ἐσομένων ἐκείνῃ τῇ νυκτὶ, οὓς οἷός τε ἦν παρέλαβον. καί μοι ἀνάβητε τούτων μάρτυρες. ΜΑΡΤΥΡΙΑΙ. Τῶν μὲν μαρτύρων ἀκηκόατε, ὦ ἄνδρες· σκέψασθε δὲ παρ' ὑμῖν αὐτοῖς οὕτως περὶ τούτου τοῦ πράγματος, ζητοῦντες, εἴ τις ἐμοὶ καὶ Ἐρατοσθένει ἔχθρα πώποτε γεγένηται, πλὴν ταύτης. οὐδεμίαν γὰρ εὑρήσετε. οὔτε γὰρ συκοφαντῶν γραφὰς μὲ ἐγράψατο, οὔτε ἐκβάλλειν ἐκ τῆς πόλεως ἐπεχείρησεν· οὔτε ἰδίας δίκας ἐδικάζετο, οὔτε συνῄδει κακὸν οὐδὲν, ὃ ἐγὼ δεδιὼς μή τις πύθηται, ἐπεθύμουν αὐτὸν ἀπολέσαι. οὔτε, εἰ ταῦτα διεπραξάμην, ἤλπιζον μὲν χρήματα λήψεσθαι· ἔνιοι γὰρ τοιούτων πραγμάτων ἕνεκεν θάνατον ἀλλήλοις ἐπιβουλεύουσι. τοσούτου τοίνυν δεῖ ἡ λοιδορία, ἡ παροινία, ἡ ἄλλη τις διαφορὰ ἡμῖν γεγονέναι, ὥστε οὐδὲ ἑωρακὼς ἦν τὸν ἄνθρωπον πώποτε πλὴν ἐν ἐκείνῃ τῇ νυκτί. τί ἂν οὖν βουλόμενος ἐγὼ τοιοῦτον κίνδυνον ἐκινδύνευον, εἰ μὴ τὸ μέγιστον τῶν ἀδικημά-

των ἦν ὑπ' αὐτοῦ ἠδικημένος; ἔπειτα παρακαλέσας αὐτὸς μάρτυρας ἠσέβουν, ἐξόν μοι, εἴπερ ἀδίκως ἐπεθύμουν αὐτὸν ἀπολέσαι, μηδένα μοι τούτων συνειδέναι; Ἐγὼ μὲν οὖν, ὦ ἄνδρες, οὐκ ἰδίαν ὑπὲρ ἐμαυτοῦ νομίζω ταύτην γενέσθαι τὴν τιμωρίαν, ἀλλὰ ὑπὲρ τῆς πόλεως ἁπάσης. οἱ γὰρ τοιαῦτα πράττοντες, ὁρῶντες, οἷα τὰ ἆθλα πρόκειται τῶν τοιούτων ἁμαρτημάτων, ἧττον εἰς τοὺς ἄλλους ἐξαμαρτήσουσιν, ἐὰν καὶ ὑμᾶς ὁρῶσι τὴν αὐτὴν γνώμην ἔχοντας. εἰ δὲ μή, πολὺ κάλλιον τοὺς μὲν κειμένους νόμους ἐξαλεῖψαι, ἑτέρους δὲ θεῖναι, οἵτινες τοὺς μὲν φυλάττοντας τὰς ἑαυτῶν γυναῖκας ταῖς ζημίαις ζημιώσουσι, τοῖς δὲ βουλομένοις εἰς αὐτὰς ἁμαρτάνειν πολλὴν ἄδειαν ποιήσουσι. πολὺ γὰρ οὕτω δικαιότερον ἢ ὑπὸ τῶν νόμων τοὺς πολίτας ἐνεδρεύεσθαι, οἳ κελεύουσι μέν, ἐάν τις μοιχὸν λάβῃ, ὅ, τι ἂν βούληται χρῆσθαι· οἱ δ' ἀγῶνες δεινότεροι τοῖς ἀδικουμένοις καθεστήκασιν, ἢ τοῖς παρὰ τοὺς νόμους τὰς ἀλλοτρίας καταισχύνουσι γυναῖκας. ἐγὼ γὰρ νῦν καὶ περὶ τοῦ σώματος, καὶ περὶ τῶν χρημάτων, καὶ περὶ τῶν ἄλλων ἁπάντων κινδυνεύω, ὅτι τοῖς τῆς πόλεως νόμοις ἐπειθόμην.

ΛΥΣΙΟΥ ΕΠΙΤΑΦΙΟΣ

ΤΟΙΣ

ΚΟΡΙΝΘΙΩΝ ΒΟΗΘΟΙΣ.

Εἰ μὲν ἡγούμην οἷόν τε εἶναι, ὦ παρόντες, ἐπὶ τῷδε τῷ τάφῳ, λόγῳ δηλῶσαι τὴν τῶν ἐνθάδε κειμένων ἀνδρῶν ἀρετὴν, ἐμεμψάμην ἂν τοῖς ἐπαγγείλασιν ἐπ' αὐτοῖς ἐξ ὀλίγων ἡμερῶν λέγειν· ἐπειδὴ δὲ τοῖς πᾶσιν ἀνθρώποις ὁ πᾶς χρόνος οὐχ ἱκανὸς λόγον ἴσον παρασκευάσαι τοῖς τούτων ἔργοις, διὰ τοῦτο καὶ ἡ πόλις μοι δοκεῖ, προορωμένη τῶν ἐνθάδε λεγόντων, ἐξ ὀλίγου τὴν πρόσταξιν ποιεῖσθαι, ἡγουμένη οὕτως ἂν μάλιστα συγγνώμης αὐτοὺς παρὰ τῶν ἀκουσάντων τυγχάνειν. ὅμως δὲ ὁ μὲν λόγος μοι περὶ τούτων, ὁ δ' ἀγὼν οὐ πρὸς τὰ τούτων ἔργα, ἀλλὰ πρὸς τοὺς πρότερον ἐπ' αὐτοῖς εἰρηκότας. τοσαύτην γὰρ ἀφθονίαν παρεσκεύασεν ἡ τούτων ἀρετὴ καὶ τοῖς ποιεῖν δυναμένοις καὶ τοῖς εἰπεῖν βουληθεῖσιν, ὥστε καλὰ μὲν πολλὰ τοῖς προτέροις περὶ αὐτῶν εἰρῆσθαι, πολλὰ δὲ καὶ ἐκείνοις παραλελεῖφθαι· ἱκανὰ δὲ καὶ τοῖς ἐπιγιγνομένοις ἐξεῖναι εἰπεῖν. οὔτε γὰρ γῆς ἄπειροι οὔτε θαλάττης οὐδεμιᾶς, παντοχοῦ

θέντες, καὶ τὰς ἐπὶ τῷ πολέμῳ τύχας κοινὰς ἁπά
των ἀνθρώπων νομίζοντες, πολλοὺς μὲν πολεμίο
κτώμενοι, τὸ δὲ δίκαιον ἔχοντες σύμμαχον ἐνίκα
μαχόμενοι. καὶ οὐχ ὑπὸ τῆς τύχης ἐπαρθέντες, μι
ζονος παρὰ Καδμείων τιμωρίας ἐπεθύμησαν, ἀλ
ἐκείνοις μὲν ἀντὶ τῆς ἀσεβείας τὴν ἑαυτῶν ἀρετ
ἐπεδείξαντο, αὐτοὶ δὲ λαβόντες τὰ ἆθλα, ὥνπερ ἔ
κα ἀφίκοντο, τοὺς Ἀργείων νεκροὺς, ἔθαψαν ἐν
αὐτῶν, Ἐλευσῖνι. περὶ μὲν οὖν τοὺς ἀποθανόντ
τῶν ἑπτὰ ἐπὶ Θήβας τοιοῦτοι γεγόνασιν· ὑστέρῳ
χρόνῳ, ἐπειδὴ Ἡρακλῆς μὲν ἐξ ἀνθρώπων ἠφανίσθ
οἱ δὲ παῖδες αὐτοῦ ἔφευγον μὲν Εὐρυσθέα, ἐξηλα
νοντο δὲ ὑπὸ πάντων τῶν Ἑλλήνων, αἰσχυνομένε
μὲν τοῖς ἔργοις, φοβουμένων δὲ τὴν Εὐρυσθέως δ
ναμιν, ἀφικόμενοι εἰς τήνδε τὴν πόλιν, ἱκέται ἐ
τὸν βωμὸν ἐκαθέζοντο· ἐξαιτουμένου δὲ αὐτοὺς Ε
ρυσθέως, Ἀθηναῖοι οὐκ ἠθέλησαν ἐκδοῦναι, ἀλλ
τὴν Ἡρακλέους ἀρετὴν μᾶλλον ἠδοῦντο, ἢ τὸν κί
δυνον τὸν ἑαυτῶν ἐφοβοῦντο· καὶ ἠξίουν ὑπὲρ τ
ἀσθενεστέρων μετὰ τοῦ δικαίου διαμάχεσθαι μᾶ
λον, ἢ τοῖς δυναμένοις χαριζόμενοι τοὺς ὑπ' ἐκείνο
ἀδικουμένους ἐκδοῦναι. ἐπιστρατεύσαντος δ' Ε
ρυσθέως μετὰ τῶν ἐν ἐκείνῳ τῷ χρόνῳ Πελοποννησι
ἐχόντων, οὐκ, ἐγγὺς τῶν δεινῶν γενόμενοι, μετέγνω
σαν, ἀλλὰ τὴν αὐτὴν εἶχον γνώμην, ἥνπερ πρότερο
ἀγαθὸν μὲν οὐδὲν ἰδίᾳ ὑπὸ τοῦ πατρὸς αὐτῶν π
πονθότες, ἐκείνους δ' οὐκ εἰδότες, ὁποῖοί τινες ἄν
δρες ἔσονται γενόμενοι· δίκαιον δὲ νομίζοντες εἶνα
οὐ προτέρας ἔχθρας ὑπαρχούσης πρὸς Εὐρυσθέ

κίνδυνος προκειμένου, πλὴν δόξης ἀγαθῆς, τὸν κίνδυνον ὑπὲρ αὐτῶν ἦραντο· τοὺς μὲν ἀδικουμένους ἐλεοῦντες, τοὺς δ' ὑβρίζοντας μισοῦντες· τοὺς μὲν κωλύειν ἐπιχειροῦντες, τοῖς δ' ἐπικουρεῖν ἐξιοῦντες· ἡγούμενοι ἐλευθερίας μὲν σημεῖον μηδὲν ποιεῖν ἄκοντας· δικαιοσύνης δὲ, τοῖς νομένοις βοηθεῖν· εὐψυχίας δ', ὑπὲρ τούτων τέρων, εἰ δέοι, μαχομένους ἀποθνήσκειν. τον δ' ἐφρόνουν ἀμφότεροι, ὥσθ' οἱ μὲν μετ' σθέας οὐδὲν παρ' ἑκόντων ἐζήτουν εὑρίσκε- Ἀθηναῖοι δὲ οὐκ ἠξίουν Εὐρυσθέα, αὐτὸν ντα, τοὺς ἱκέτας αὐτῶν ἐξελεῖν. παραταξά- δ' ἰδίᾳ δυνάμει τὴν ἐξ ἁπάσης Πελοποννήσου ὰν ἐλθοῦσαν ἐνίκων μαχόμενοι· καὶ τῶν Ἡρα- παίδων τὰ μὲν σώματα εἰς ἄδειαν κατέστη- ἐπαλλάξαντες δὲ τοῦ δέους καὶ τὰς ψυχὰς ἠλευ- αν, διὰ τὴν τοῦ πατρὸς ἀρετὴν, ἐκείνους δὲ ὑτῶν κινδύνοις ἐστεφάνωσαν. τοσοῦτον δὲ εὐ- τεροι παῖδες ὄντες ἐγένοντο τοῦ πατρός· ὁ μὲν καίπερ ὢν ἀγαθῶν πολλῶν αἴτιος ἅπασιν ἀν- οις, ἐπίπονον καὶ φιλόνεικον καὶ φιλότιμον καταστήσας τὸν βίον, τοὺς μὲν ἄλλους ἀδι- ας ἐκόλασεν, Εὐρυσθέα δὲ, καὶ ἐχθρὸν ὄντα, αὐτὸν ἐξαμαρτάνοντα, οὐχ οἷός τε ἦν τιμω- θαι· οἱ δὲ παῖδες αὐτοῦ διὰ τήνδε τὴν πόλιν τῇ εἶδον ἡμέρᾳ τήν θ' ἑαυτῶν σωτηρίαν, καὶ ὧν ἐχθρῶν τιμωρίαν. πολλὰ μὲν οὖν ὑπῆρχε μετέροις προγόνοις μιᾷ γνώμῃ χρωμένοις περὶ καίου διαμάχεσθαι. ἡ μὲν γὰρ ἀρχὴ τοῦ βίου

δικαία. (οὐ γὰρ, ὥσπερ οἱ πολλοὶ, πανταχόθε
συνειλεγμένοι, καὶ ἑτέρους ἐκβαλόντες, τὴν ἄλλο
τρίαν ᾤκησαν, ἀλλ' αὐτόχθονες ὄντες, τὴν αὐτὴ
ἐκέκτηντο μητέρα καὶ πατρίδα.) πρῶτοι δὲ, καὶ μό
νοι ἐν ἐκείνῳ τῷ χρόνῳ, ἐκβαλόντες τὰς παρὰ σφί
σιν αὐτοῖς δυναστείας, δημοκρατίαν κατεστήσαντο
ἡγούμενοι τὴν πάντων ἐλευθερίαν ὁμόνοιαν εἶνα
μεγίστην· κοινὰς δ' ἀλλήλοις τὰς ἐκ τῶν κινδύνων
ἐλπίδας ποιήσαντες, ἐλευθέραις ταῖς ψυχαῖς ἐπολι
τεύοντο· νόμῳ τοὺς ἀγαθοὺς τιμῶντες, καὶ τοὺς κα
κοὺς κολάζοντες· ἡγησάμενοι θηρίων μὲν ἔργον εἶ
ναι, ὑπ' ἀλλήλων βίᾳ κρατεῖσθαι, ἀνθρώποις δὲ
προσήκειν, νόμῳ μὲν ὁρίσασθαι τὸ δίκαιον, λόγῳ
δὲ πεῖσαι· ἔργῳ δὲ τούτοις ὑπηρετεῖν, ὑπὸ νόμοι
μὲν βασιλευομένους, ὑπὸ λόγου δὲ διδασκομένους
καὶ γάρτοι καὶ φύντες καλῶς, καὶ γνόντες ὅμοια
πολλὰ μὲν καλὰ καὶ θαυμαστὰ οἱ πρόγονοι τῶν ἐν
θάδε κειμένων εἰργάσαντο, ἀείμνηστα δὲ καὶ μεγά
λα, καὶ πανταχοῦ, οἱ ἐξ ἐκείνων γεγονότες τρόπαια
διὰ τὴν αὐτῶν ἀρετὴν κατέλιπον. μόνοι γὰρ ὑπὲ
ἁπάσης τῆς Ἑλλάδος πρὸς πολλὰς μυριάδας τῶ
βαρβάρων διεκινδύνευσαν. ὁ γὰρ τῆς Ἀσίας βασι
λεὺς, οὐκ ἀγαπῶν τοῖς ὑπάρχουσιν ἀγαθοῖς, ἀλλ
ἐλπίζων καὶ τὴν Εὐρώπην δουλώσεσθαι, ἔστειλ
πεντήκοντα μυριάδας στρατιάν. ἡγησάμενοι δὲ, ε
τήνδε τὴν πόλιν, ἣ ἐκοῦσαν φίλην ποιήσαιντο, ἢ
ἄκουσαν καταστρέψαιντο, ῥᾳδίως τῶν ἄλλων Ἑλλή
νων ἄρξειν, ἀπέβησαν εἰς Μαραθῶνα· νομίσαντε
οὕτως ἂν ἐρημοτάτους εἶναι συμμάχων τοὺς Ἕλλη

νας, εἴ ἔτι στασιαζούσης τῆς Ἑλλάδος, ᾧτινι χρὴ τρόπῳ τοὺς ἐπιόντας ἀμύνασθαι, τὸν κίνδυνον ποιήσαιντο. ἔτι δ' αὐτοῖς ἐκ τῶν προτέρων ἔργων περὶ τῆς πόλεως τοιαύτη δόξα παρειστήκει, ὡς, εἰ μὲν πρότερον ἐπ' ἄλλην πόλιν ἴοισιν, ἐκείνοις καὶ Ἀθηναίοις πολεμήσουσι· προθύμως γὰρ τοῖς ἀδικουμένοις ἥξουσι βοηθήσοντες· εἰ δ' ἐνθάδε πρῶτον ἀφίκωνται, οὐδένας ἄλλους τῶν Ἑλλήνων τολμήσειν, ἑτέρους σώζοντας, φανερὰν ἔχθραν πρὸς ἐκείνους ὑπὲρ αὐτῶν καταθέσθαι. οἱ μὲν τοίνυν ταῦτα διενοοῦντο· οἱ δ' ἡμέτεροι πρόγονοι οὐ λογισμῷ εἰδότες τοὺς ἐν τῷ πολέμῳ κινδύνους, ἀλλὰ νομίζοντες τὸν εὐκλεᾶ θάνατον ἀθάνατον περὶ τῶν ἀγαθῶν καταλείπειν λόγον, οὐκ ἐφοβήθησαν τὸ πλῆθος τῶν ἐναντίων, ἀλλὰ τῇ αὐτῶν ἀρετῇ μᾶλλον ἐπίστευσαν. καὶ αἰσχυνόμενοι, ὅτι ἦσαν οἱ βάρβαροι αὐτῶν ἐν τῇ χώρᾳ, οὐκ ἀνέμειναν πυθέσθαι, οὐδὲ βοηθῆσαι τοὺς συμμάχους· οὐδ' ᾠήθησαν δεῖν ἑτέροις τῆς σωτηρίας χάριν εἰδέναι, ἀλλὰ σφίσιν αὐτοῖς τοὺς ἄλλους Ἕλληνας. ταῦτα μιᾷ γνώμῃ πάντες γνόντες, ἑπτήκοντα ὀλίγοι πρὸς πολλούς. ἐνόμιζον γὰρ ἀποθανεῖν μὲν αὐτοῖς μετὰ πάντων προσήκειν, ἀγαθοὺς δ' εἶναι μετ' ὀλίγων· καὶ τὰς μὲν ψυχὰς ἀλλοφύλας διὰ τὸν θάνατον κεκτῆσθαι, τὴν δ' ἐκ τῶν κινδύνων μνήμην ἰδίαν καταλείψειν. ἠξίουν δ', οὓς μὴ μόνοι νικῷεν, οὐδ' ἂν μετὰ συμμάχων δύνασθαι. καὶ ἡττηθέντες μὲν, ὀλίγῳ τῶν ἄλλων προαποληφθῆναι, νικήσαντες δὲ, καὶ τοὺς ἄλλους ἐλευθερώσειν· ἄνδρες δ' ἀγαθοὶ γενόμενοι, καὶ τῶν μὲν σωμάτων

ἀφειδήσαντες, ὑπὲρ δὲ τῆς ἀρετῆς οὐ φιλοψυχήσαντες, καὶ μᾶλλον τοὺς παρ' αὐτοῖς νόμους αἰσχυνόμενοι, ἢ τὸν πρὸς τοὺς πολεμίους κίνδυνον φοβούμενοι, ἔστησαν μὲν τρόπαια ὑπὲρ τῆς Ἑλλάδος τῶν βαρβάρων ἐν τῇ αὐτῶν, ὑπὲρ χρημάτων εἰς τὴν ἀλλοτρίαν ἐμβαλόντων, παρὰ τοὺς ὅρους τῆς χώρας. οὕτω δὲ διὰ ταχέων τὸν κίνδυνον ἐποιήσαντο, ὥστε οἱ αὐτοὶ τοῖς ἄλλοις ἀπήγγειλαν τήν τε ἐνθάδε ἄφιξιν τῶν βαρβάρων, καὶ τὴν τῶν προγόνων νίκην. καὶ γάρτοι οὐδεὶς τῶν ἄλλων ἔδεισεν ὑπὲρ τοῦ μέλλοντος κινδύνου, ἀλλ' ἀκούσαντες ὑπὲρ τῆς αὐτῶν ἐλευθερίας ἥσθησαν. ὥστε οὐδὲν θαυμαστὸν, πάλαι τῶν ἔργων γεγενημένων, ὥσπερ καινῶν ὄντων, ἔτι καὶ νῦν τὴν ἀρετὴν αὐτῶν ὑπὸ πάντων ἀνθρώπων ζηλοῦσθαι. μετὰ δὲ ταῦτα Ξέρξης, ὁ τῆς Ἀσίας βασιλεὺς, καταφρονήσας μὲν τῆς Ἑλλάδος, ἐψευσμένος δὲ τῆς ἐλπίδος, ἀτιμαζόμενος δὲ τῷ γεγενημένῳ, ἀχθόμενος δὲ τῇ συμφορᾷ, ὀργιζόμενος δὲ τοῖς αἰτίοις, ἀπαθὴς δ' ὢν κακῶν καὶ ἄπειρος ἀνδρῶν ἀγαθῶν, δεκάτῳ ἔτει παρασκευασάμενος, χιλίαις μὲν καὶ διακοσίαις ναυσὶν ἀφίκετο· τῆς δὲ πεζῆς στρατιᾶς οὕτως ἄπειρον τὸ πλῆθος ἦγεν, ὥστε καὶ τὰ ἔθνη τὰ μετ' αὐτοῦ ἀκολουθήσαντα πολὺ ἂν ἔργον εἴη καταλέξαι. τὸ δὲ μέγιστον σημεῖον τοῦ πλήθους· ἐξὸν γὰρ αὐτῷ χιλίαις ναυσὶ διαβιβάσαι, κατὰ τὸ στενώτατον τοῦ Ἑλλησπόντου, τὴν πεζὴν στρατιὰν ἐκ τῆς Ἀσίας εἰς τὴν Εὐρώπην, οὐκ ἠθέλησεν, ἡγούμενος τὴν διατριβὴν αὐτῷ πολλὴν ἔσεσθαι· ἀλλ' ὑπερίδων καὶ τὰ φύσει πεφυκότα καὶ τὰ

ἄλλα πράγματα, καὶ τὰς ἀνθρωπίνας διανοίας, ὁδὸν
ἂν διὰ τῆς θαλάσσης ἐποιήσατο, πλοῦν δὲ διὰ τῆς
γῆς ἠνάγκασε γενέσθαι· ζεύξας μὲν τὸν Ἑλλήσπον-
τον, διορυξας δὲ τὸν Ἄθω· ὑφισταμένου οὐδενός,
ἀλλὰ τῶν μὲν, ἀκόντων ὑπακουόντων, τῶν δὲ, ἑκόν-
των προδιδόντων. οἱ μὲν γὰρ οὐχ ἱκανοὶ ἦσαν ἀ-
μύνασθαι, οἱ δ' ὑπὸ χρημάτων διεφθαρμένοι. ἀμ-
φότερα δ' ἦν αὐτοὺς τὰ πείθοντα, κέρδος καὶ δέος.
Ἀθηναῖοι δ', οὕτω διακειμένης τῆς Ἑλλάδος, αὐτοὶ
μὲν εἰς τὰς ναῦς εἰσβάντες, ἐπ' Ἀρτεμίσιον ἐβοήθη-
σαν, Λακεδαιμόνιοι δὲ καὶ τῶν συμμάχων ἔνιοι εἰς
Θερμοπύλας ἀπήντησαν, ἡγούμενοι διὰ τὴν στενό-
τητα τῶν χωρίων τὴν πάροδον οἷοί τε ἔσεσθαι διω-
κωλάξαι. γενομένου δὲ τοῦ κινδύνου κατὰ τὸν αὐ-
τὸν χρόνον, Ἀθηναῖοι μὲν ἐνίκων τῇ ναυμαχίᾳ· Λα-
κεδαιμόνιοι δὲ, οὐδὲν ταῖς ψυχαῖς ἐνδεεῖς γενόμενοι,
ἀλλὰ τοῦ πλήθους ψευσθέντες, καὶ οὓς φυλάξειν
ἔμελλον, καὶ πρὸς οὓς κινδυνεύσειν ἔμελλον, οὐχ ἡτ-
ηθέντες τῶν ἐναντίων, ἀλλ' ἀποθανόντες ὑπὲρ
τάχθησαν μάχεσθαι. τούτῳ δὲ τῷ τρόπῳ τῶν μὲν
δυστυχησάντων, τῶν δὲ τῆς παρόδου κρατησάντων,
οἱ μὲν ἐπορεύοντο ἐπὶ τήνδε τὴν πόλιν· οἱ δ' ἡμέτε-
ροι πρόγονοι πυθόμενοι μὲν τὴν γεγενημένην Λακε-
δαιμονίοις συμφορὰν, ἀπορροῦντες δὲ τοῖς περιεστη-
κόσι πράγμασιν· εἰδότες δ', ὅτι, εἰ μὲν κατὰ γῆν
τοῖς βαρβάροις ἀπαντήσονται, ἐπιπλεύσαντες χι-
λίαις ναυσὶν ἐρήμην τὴν πόλιν λήψονται· εἰ δὲ εἰς
τὰς τριήρεις ἐμβήσονται, ὑπὸ τῆς πεζῆς στρατιᾶς
ἁλώσονται ἀμφότερα δὲ οὐ δυνήσονται, ἀμύνε-

σθαί τε καὶ φυλακὴν ἱκανὴν καταλιπεῖν· δυοῖν δὲ προκειμένοιν, πότερον χρὴ τὴν πατρίδα ἐκλιπεῖν, ἢ μετὰ τῶν βαρβάρων γενομένους καταδουλώσασθαι τοὺς Ἕλληνας, ἡγησάμενοι κρεῖττον εἶναι μετ' ἀρετῆς καὶ πενίας καὶ φυγῆς ἐλευθερίαν, ἢ μετ' ὀνείδους καὶ πλούτου δουλείαν τῆς πατρίδος, ἐξέλιπον ὑπὲρ τῆς Ἑλλάδος τὴν πόλιν· ἵν' ἐν μέρει πρὸς ἑκατέραν, ἀλλὰ μὴ πρὸς ἀμφοτέρας ἅμα τὰς δυνάμεις κινδυνεύσωσιν, ὑπεκθέμενοι δὲ παῖδας καὶ γυναῖκας καὶ μητέρας εἰς Σαλαμῖνα, συνήθροιζον καὶ τὸ τῶν ἄλλων συμμάχων ναυτικόν. οὐ πολλαῖς δ' ὕστερον ἡμέραις ἦλθε καὶ ἡ πεζὴ στρατιά, καὶ τὸ ναυτικὸν τὸ τῶν βαρβάρων, ὅ τίς οὐκ ἂν ἰδὼν ἐφοβήθη; οἷος μέγας καὶ δεινὸς τῇδε τῇ πόλει κίνδυνος ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας ἠγωνίσθη; ποίαν δὲ γνώμην εἶχον, ἢ οἱ θεώμενοι τοὺς ἐν ταῖς ναυσὶν ἐκείναις (οὔσης καὶ τῆς αὐτῶν σωτηρίας ἀπίστου, καὶ τοῦ προσιόντος κινδύνου) ἢ οἱ μέλλοντες ναυμαχήσειν ὑπὲρ τῆς φιλότητος, ὑπὲρ τῶν ἄθλων τῶν ἐν Σαλαμῖνι; οἷς τοσοῦτον πανταχόθεν περιειστήκει πλῆθος πολεμίων, ὥστε ἐλάχιστον μὲν αὐτοῖς εἶναι τῶν παρόντων κακῶν τὸν θάνατον τὸν αὑτῶν, τῷ αὐτὸν προειδέναι, μεγίστην δὲ συμφορὰν, ἅ ὑπὲ τῶν βαρβάρων εὐτυχησάντων τοὺς ὑπεκτεθέντας ἤλπιζον πείσεσθαι. ἦπου διὰ τὴν ὑπάρχουσαν ἀπορίαν, πολλάκις μὲν ἐδεξιώσαντο ἀλλήλους, εἰκότως δὲ σφᾶς αὐτοὺς ὠλοφύραντο· εἰδότες μὲν τὰς σφετέρας ναῦς ὀλίγας οὔσας, ὁρῶντες δὲ πολλὰς τὰς τῶν πολεμίων· ἐπιστάμενοι δὲ τὴν μὲν πόλιν ἠρημωμέ-

ην, τὴν δὲ χώραν πορθουμένην, καὶ μεστὴν τῶν βαρβάρων· ἱερῶν δὲ καιομένων, ἁπάντων δ' ἐγγὺς ὄντων τῶν θειῶν· ἀκούοντες δ' ἐν ταὐτῷ συμμεμιγμένου Ἑλληνικοῦ καὶ βαρβαρικοῦ παιᾶνος, παρακελευσμοῦ δ' ἀμφοτέρων, καὶ κραυγῆς τῶν διαφθειρομένων, καὶ τῆς θαλάττης μεστῆς τῶν νεκρῶν, καὶ πολλῶν μὲν συμπιπτόντων καὶ φιλίων καὶ πολεμίων ναυαγίων, ἀντιπάλου δὲ πολὺν χρόνον οὔσης τῆς ναυμαχίας· δοκοῦντες τοτὲ μὲν νενικηκέναι καὶ σεσῶσθαι, τοτὲ δ' ἡττῆσθαι καὶ ἀπολωλέναι. ἦπου, διὰ τὸν παρόντα φόβον, πολλὰ μὲν ᾠήθησαν ἰδεῖν, ἃ οὐκ εἶδον, πολλὰ δ' ἀκοῦσαι, ὧν οὐκ ἤκουσαν. ποῖαι δ' οὐχ ἱκετεῖαι θεῶν ἐγένοντο, ἢ θυσιῶν ἀναμνήσεις; ἔλεός τε παίδων, καὶ γυναικῶν πόθος, οἰκτός τε πατέρων καὶ μητέρων; λογισμός τε, εἰ δυστυχήσειαν, τῶν μελλόντων ἔσεσθαι κακῶν; τίς οὐκ ἂν θεῶν ἠλέησεν αὐτοὺς ὑπὲρ τοῦ μεγέθους τοῦ κινδύνου; ἢ τίς ἀνθρώπων οὐκ ἂν ἐδάκρυσεν; ἢ τίς τῆς τόλμης αὐτοὺς οὐκ ἂν ἠγάσθη; ἢ πολὺ πλεῖστον ἐκεῖνοι κατὰ τὴν ἀρετὴν ἁπάντων ἀνθρώπων διήνεγκαν καὶ ἐν τοῖς βουλεύμασι καὶ ἐν τοῖς τοῦ πολέμου κινδύνοις· ἐκλιπόντες μὲν τὴν πόλιν, εἰς τὰς ναῦς δ' ἐσβάντες, τὰς δ' αὐτῶν ψυχὰς ὀλίγας οὔσας ἀντιτάξαντες τῷ πλήθει τῷ τῆς Ἀσίας. ἐπέδειξαν δὲ καὶ πᾶσιν ἀνθρώποις, νικήσαντες τῇ ναυμαχίᾳ, ὅτι κρεῖττον μετ' ὀλίγων ὑπὲρ τῆς ἐλευθερίας κινδυνεύειν, ἢ μετὰ πολλῶν βασιλευομένων ὑπὲρ τῆς αὐτῶν δουλείας. πλεῖστα δὲ καὶ κάλλιστα ἐκεῖνοι ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας συνεβάλοντο, στρατη-

γὸν μὲν, Θεμιστοκλέα, ἱκανώτατον εἰπεῖν καὶ γνῶναι καὶ πρᾶξαι· ναῦς δὲ πλείους τῶν ἄλλων ἁπάντων συμμάχων, ἄνδρας δ' ἐμπειροτάτους. καίτοι τίνες ἂν τούτοις τῶν ἄλλων Ἑλλήνων ἤρισαν γνώμῃ, καὶ πλήθει, καὶ ἀρετῇ; ὥστε δικαίως μὲν ἀναμφισβήτητα τἀριστεῖα τῆς ναυμαχίας ἔλαβον παρὰ τῆς Ἑλλάδος, εἰκότως δὲ τὴν εὐτυχίαν ὁμονοοῦσαν τοῖς κινδύνοις ἐκτήσαντο· γνησίαν δὲ καὶ αὐτόχθονα τοῖς ἐκ τῆς Ἀσίας βαρβάροις τὴν αὑτῶν ἀρετὴν ἐπεδείξαντο. ἐν μὲν οὖν τῇ ναυμαχίᾳ τοιούτους αὑτοὺς παρασχόντες, καὶ πολὺ πλεῖστον τῶν κινδύνων μετασχόντες τῇ ἰδίᾳ ἀρετῇ κοινὴν τὴν ἐλευθερίαν καὶ τοῖς ἄλλοις ἐκτήσαντο· ὕστερον δὲ Πελοποννησίων διατειχιζόντων τὸν Ἰσθμὸν, καὶ ἀγαπώντων μὲν τῇ σωτηρίᾳ, νομιζόντων δ' ἀπηλλάχθαι τοῦ κατὰ θάλατταν κινδύνου, καὶ διανοουμένων τοὺς ἄλλους Ἕλληνας περιϊδεῖν ὑπὸ τοῖς βαρβάροις γενομένους, ὀργισθέντες Ἀθηναῖοι συνεβούλευον αὐτοῖς, εἰ ταύτην τὴν γνώμην ἔξουσιν, περὶ ἅπασαν τὴν Πελοπόννησον τεῖχος περιβαλεῖν. εἰ γὰρ αὐτοὶ, ὑπὸ Ἑλλήνων προδιδόμενοι, μετὰ τῶν βαρβάρων ἔσονται, οὔτ' ἐκείνοις δεήσειν χιλίων νεῶν, οὔτε τούτους ὠφελήσειν τὸ ἐν Ἰσθμῷ τεῖχος. ἀκινδύνως γὰρ ἔσεσθαι τὴν τῆς θαλάσσης ἀρχὴν τοῦ βασιλέως. διδασκόμενοι δὲ καὶ νομίζοντες, αὐτοὶ μὲν ἄδικά τε ποιεῖν καὶ κακῶς βουλεύεσθαι, Ἀθηναίους δὲ δίκαιά τε λέγειν, καὶ τὰ βέλτιστα αὐτοῖς παραινεῖν, ἐβοήθησαν εἰς Πλαταιάς· ἀποδράντων δὲ ὑπὸ νύκτα τῶν πλείστων συμμάχων ἐκ τῶν τάξεων, διὰ τὸ πλῆ-

θος τῶν πολεμίων, Λακεδαιμόνιοι μὲν καὶ Τεγεᾶ-
ται τοὺς βαρβάρους ἐτρέψαντο, Ἀθηναῖοι δὲ καὶ
Πλαταιεῖς πάντας τοὺς Ἕλληνας ἐνίκων μαχόμενοι
τοὺς ἀπογνόντας τῆς ἐλευθερίας, καὶ ὑπομείναντας
τὴν δουλείαν. ἐν ἐκείνῃ δὲ τῇ ἡμέρᾳ καλλίστην τε-
λευτὴν τοῖς προτέροις κινδύνοις ἐπιθέντες, βέβαιον
μὲν τὴν ἐλευθερίαν τῇ Εὐρώπῃ κατειργάσαντο, ἐν
ἅπασι δὲ τοῖς κινδύνοις δόντες ἔλεγχον τῆς ἑαυτῶν
ἀρετῆς, καὶ μόνοι, καὶ μεθ' ἑτέρων, καὶ πεζομα-
χοῦντες, καὶ ναυμαχοῦντες, καὶ πρὸς τοὺς βαρβά-
ρους καὶ πρὸς τοὺς Ἕλληνας, ὑπὸ πάντων ἠξιώθη-
σαν, καὶ μεθ' ὧν ἐκινδύνευον, καὶ πρὸς οὓς ἐπολέ-
μουν, ἡγεμόνες γενέσθαι τῆς Ἑλλάδος. ὑστέρῳ δὲ
χρόνῳ Ἑλληνικοῦ πολέμου καταστάντος, διὰ ζῆλον
τῶν γεγενημένων, καὶ φθόνον τῶν πεπραγμένων,
μέγα μὲν ἅπαντες φρονοῦντες, μικρῶν δ' ἐγκλημά-
των ἕκαστοι δεόμενοι, ναυμαχίας Ἀθηναίοις πρὸς
Αἰγινήτας καὶ τοὺς ἐκείνων συμμάχους γενομένης,
ἑβδομήκοντα τριήρεις αὐτῶν ἑλάμβανον. πολιορ-
κούντων δὲ κατὰ τὸν αὐτὸν χρόνον Αἴγυπτόν τε καὶ
Αἴγιναν, καὶ τῆς ἡλικίας ἀπούσης ἔν τε ταῖς ναυσὶ
καὶ ἐν τῷ πεζῷ στρατεύματι, Κορίνθιοι καὶ οἱ ἐκεί-
νων σύμμαχοι, ἡγούμενοι ἢ εἰς ἔρημον τὴν χώραν
βαλεῖν, ἢ ἐξ Αἰγίνης ἄξειν τὸ στρατόπεδον, ἐξελ-
όντες πανδημεὶ, Γεράνειαν κατέλαβον, Ἀθηναῖοι
τῶν μὲν ἀπόντων, τῶν δ' ἐγγὺς ὄντων, οὐδένα
ἐμησαν μεταπέμψασθαι· ταῖς δ' αὐτῶν ψυχαῖς
εὐσαντες, καὶ τῶν ἐπιόντων καταφρονήσαντες,
εραίτεροι καὶ οἱ τῆς ἡλικίας ἐντὸς γεγονότες,

ἠξίουν αὐτοὶ μόνοι τὸν κίνδυνον ποιήσασθαι· οἱ μὲν, ἐμπειρίᾳ τὴν ἀρετὴν, οἱ δὲ φύσει κεκτημένοι καὶ οἱ μὲν, αὐτοὶ πολλαχοῦ ἀγαθοὶ γεγενημένοι, οἱ δὲ, ἐκείνους μιμούμενοι· τῶν μὲν πρεσβυτέρων ἄρχειν ἐπισταμένων, τῶν δὲ νεωτέρων τὸ ἐπιταττόμενον ποιεῖν δυναμένων· Μυρωνίδου στρατηγοῦντος ἀπαντήσαντες αὐτοὶ εἰς τὴν Μεγαρικὴν, ἐνίκων μαχόμενοι ἅπασαν τὴν δύναμιν τὴν ἐκείνων, τοῖς ἤδη ἀπειρηκόσι, καὶ τοῖς οὔπω δυναμένοις, τοὺς εἰς τὴν σφετέραν ἐμβαλεῖν ἀξιώσαντας, εἰς τὴν ἀλλοτρίαν ἀπαντήσαντες, τρόπαιον δὲ στήσαντες, καλλίστου μὲν αὐτοῖς ἔργου, αἰσχίστου δὲ τοῖς πολεμίοις, οἱ μὲν οὐκ ἔτι τοῖς σώμασιν, οἱ δ' οὔπω δυνάμενοι ταῖς δὲ ψυχαῖς ἀμφότεροι κρείττους γενόμενοι, μετὰ καλλίστης δόξης εἰς τὴν αὐτῶν ἀπελθόντες, οἱ μὲν πάλιν ἐπαιδεύοντο, οἱ δὲ περὶ τῶν λοιπῶν ἐβουλεύοντο. καθ' ἕκαστον μὲν οὖν οὐ ῥᾴδιον τὰ ὑπὸ πολλῶν κινδυνευθέντα ὑφ' ἑνὸς ῥηθῆναι, οὐδὲ τὰ ἐν ἅπαντι τῷ χρόνῳ πραχθέντα ἐν μιᾷ ἡμέρᾳ δηλωθῆναι. τίς γὰρ ἂν ἢ χρόνος, ἢ λόγος, ἢ ῥήτωρ ἱκανὸς γένοιτο μηνύσαι τὴν τῶν ἐνθάδε κειμένων ἀνδρῶν ἀρετήν; μετὰ πλείστων γὰρ πόνων, καὶ φανερωτάτων ἀγώνων, καὶ καλλίστων κινδύνων, ἐλευθέραν μὲν ἐποίησαν τὴν Ἑλλάδα, μεγίστην δ' ἀπέδειξαν τὴν ἑαυτῶν πατρίδα· ἑβδομήκοντα μὲν ἔτη τῆς θαλάττης ἄρξαντες, ἀστασιάστους δὲ παρασχόντες τοὺς συμμάχους· οὐ τοῖς ὀλίγοις τοὺς πολλοὺς δουλεύειν ἀξιώσαντες, ἀλλὰ τὸ ἴσον ἔχειν ἅπαντας ἀναγκάσαντες· οὐδὲ τοὺς συμμάχους ἀσθενεῖς

ποιοῦντες, ἀλλὰ κἀκείνους ἰσχυροὺς καθιστάντες, καὶ τὴν αὐτῶν δύναμιν τοσαύτην ἐπιδείξαντες, ὥσθ' ὁ μέγας βασιλεὺς οὐκ ἔτι τῶν ἀλλοτρίων ἐπεθύμει, ἀλλ' ἐδίδου τῶν ἑαυτοῦ, καὶ περὶ τῶν λοιπῶν ἐφοβεῖτο. καὶ οὔτε τριήρεις ἐν ἐκείνῳ τῷ χρόνῳ ἐκ τῆς Ἀσίας ἔπλευσαν, οὔτε τύραννος ἐν τοῖς Ἕλλησι κατέστη, οὔτε Ἑλληνὶς πόλις ὑπὸ τῶν βαρβάρων ἠνδραποδίσθη. τοσαύτην σωφροσύνην καὶ δέος ἡ τούτων ἀρετὴ πᾶσιν ἀνθρώποις παρεῖχεν. ὧν ἕνεκα δεῖ μόνους καὶ προστάτας τῶν Ἑλλήνων καὶ ἡγεμόνας τῶν πόλεων γίγνεσθαι. ἐπέδειξαν δὲ καὶ ἐν ταῖς δυστυχίαις τὴν ἑαυτῶν ἀρετήν. ἀπολομένων γὰρ τῶν νεῶν ἐν Ἑλλησπόντῳ, εἴτε ἡγεμόνος κακίᾳ, εἴτε θεῶν διανοίᾳ, καὶ συμφορᾶς ἐκείνης μεγίστης γενομένης καὶ ἡμῖν τοῖς δυστυχήσασι, καὶ τοῖς ἄλλοις Ἕλλησιν, ἐδήλωσαν οὐ πολλῷ χρόνῳ ὕστερον, ὅτι ἡ τῆς πόλεως δύναμις τῆς Ἑλλάδος ἦν σωτηρία. ἑτέρων γὰρ ἡγεμόνων γενομένων, ἐνίκησαν μὲν ναυμαχοῦντες τοὺς Ἕλληνας οἱ πρότερον εἰς τὴν θάλασσαν οὐκ ἐμβαίνοντες, ἔπλευσαν δ' εἰς τὴν Εὐρώπην· δουλεύουσι δὲ πόλεις τῶν Ἑλλήνων, τύραννοι δ' ἐγκαθεστᾶσιν, οἱ μέν, μετὰ τὴν ἡμετέραν συμφοράν, οἱ δέ, μετὰ τὴν νίκην τῶν βαρβάρων. ὥστ' ἄξιον ἦν ἐπὶ τῷδε τῷ τάφῳ τότε κεῖρασθαι τῇ Ἑλλάδι, καὶ πενθῆσαι τοὺς ἐνθάδε κειμένους, ὡς συγκαταθαπτομένης τῆς αὐτῶν ἐλευθερίας τῇ τούτων ἀρετῇ· ὡς δυστυχὴς μὲν ἡ Ἑλλὰς τοιούτων ἀνδρῶν ὀρφανὴ γενομένη, εὐτυχὴς δ' ὁ τῆς Ἀσίας βασιλεύς, ἑτέρων ἡγεμόνων λαβόμενος. τῇ μὲν γὰρ τούτων

στερηθείση δουλεία περιέστηκε, τῷ δ', ἄλλων ἀρξάντων, ζῆλος ἐγγίνεται τῆς τῶν προγόνων διανοίας. ἀλλὰ ταῦτα μὲν ἐξήχθην ὑπὲρ πάσης ὀλοφύρασθαι τῆς Ἑλλάδος. ἐκείνων δὲ τῶν ἀνδρῶν ἄξιον καὶ ἰδίᾳ καὶ δημοσίᾳ μεμνῆσθαι, οἳ φεύγοντες τὴν δουλείαν, καὶ περὶ τοῦ δικαίου μαχόμενοι, καὶ ὑπὲρ τῆς δημοκρατίας στασιάσαντες, πάντας πολεμίους κεκτημένοι, εἰς τὸν Πειραιᾶ κατῆλθον, οὐχ ὑπὸ νόμου ἀναγκασθέντες, ἀλλ' ὑπὸ τῆς φύσεως πεισθέντες, καινοῖς κινδύνοις τὴν παλαιὰν τῶν προγόνων ἀρετὴν μιμησάμενοι, ταῖς αὐτῶν ψυχαῖς κοινὴν τὴν πόλιν καὶ τοῖς ἄλλοις κτησάμενοι, θάνατον μετ' ἐλευθερίας αἱρούμενοι, ἢ βίον μετὰ δουλείας· οὐχ ἧττον ταῖς συμφοραῖς αἰσχυνόμενοι, ἢ τοῖς ἐχθροῖς ὀργιζόμενοι· μᾶλλον βουληθέντες ἐν τῇ αὐτῶν ἀποθνήσκειν, ἢ ζῆν τὴν ἀλλοτρίαν οἰκοῦντες, συμμάχους μὲν ὅρκους καὶ συνθήκας ἔχοντες, πολεμίους δὲ τοὺς πρότερον ὑπάρχοντας, καὶ τοὺς πολίτας τοὺς ἑαυτῶν. ἀλλ' ὅμως οὐ τὸ πλῆθος τῶν ἐναντίων φοβηθέντες, ἀλλ' ἐν τοῖς σώμασι τοῖς ἑαυτῶν κινδυνεύσαντες, τρόπαιον μὲν τῶν πολεμίων ἔστησαν, μάρτυρας δὲ τῆς αὐτῶν ἀρετῆς ἐγγὺς ὄντας τοῦδε τοῦ μνήματος τοὺς Λακεδαιμονίων τάφους παρέχονται. καὶ γάρτοι καὶ μεγάλην μὲν ἀντὶ μικρᾶς ἀπέδειξαν τὴν πόλιν, ὁμονοοῦσαν δὲ ἀντὶ στασιαζούσης ἀπέφηναν, τείχη δὲ ἀντὶ τῶν καθῃρημένων ἀνέστησαν. οἱ δὲ κατελθόντες αὐτῶν, ἀδελφὰ τὰ βουλεύματα τοῖς ἔργοις τῶν ἐνθάδε κειμένων ἐπιδεικνύντες, οὐκ ἐπὶ τιμωρίαν τῶν ἐχθρῶν, ἀλλ' ἐπὶ

σωτηριαν τῆς πόλεως ἐτράποντο· καὶ οὔτε ἐλαττοῦσθαι δυνάμενοι, οὔτ' αὐτοὶ πλέον ἔχειν δεόμενοι, τῆς μὲν αὑτῶν ἐλευθερίας καὶ τοῖς βουλομένοις δουλεύειν μετέδωκαν, τῆς δ' ἐκείνων δουλείας αὐτοὶ μετίσχειν οὐκ ἠξίωσαν. ἔργοις δὲ μεγίστοις καὶ καλλίστοις ἀπελογήσαντο, ὅτι οὐ κακίᾳ τῇ αὑτῶν, οὐδ' ἀρετῇ τῶν πολεμίων, πρότερον ἐδυστύχησεν ἡ πόλις. εἰ γὰρ στασιάσαντες πρὸς ἀλλήλους, βίᾳ παρόντων Πελοποννησίων καὶ τῶν ἄλλων ἐχθρῶν, εἰς τὴν αὐτῶν οἷοί τε ἐγίνοντο κατελθεῖν, δῆλον, ὅτι ῥᾳδίως ἂν ὁμονοοῦντες πολεμεῖν αὐτοῖς ἐδύναντο. ἐκεῖνο μὲν οὖν διὰ τοὺς ἐν Πειραιεῖ κινδύνους ὑπὸ πάντων ἀνθρώπων ζηλοῦνται· ἄξιον δὲ καὶ τοὺς ξένους τοὺς ἐνθάδε κειμένους ἐπαινέσαι, οἳ τῷ πλήθει βοηθήσαντες, καὶ περὶ τῆς ἡμετέρας σωτηρίας μαχόμενοι, πατρίδα τὴν ἀρετὴν ἡγησάμενοι, τοιαύτην τοῦ βίου τελευτὴν ἐποιήσαντο· ἀνθ' ὧν ἡ πόλις αὐτοὺς καὶ ἐπένθησε καὶ ἔθαψε δημοσίᾳ, καὶ ἔδωκεν ἔχειν αὐτοῖς τὸν ἅπαντα χρόνον τὰς αὐτὰς τιμὰς τοῖς ἀστοῖς. οἱ δὲ νῦν θαπτόμενοι, βοηθήσαντες Κορινθίοις ὑπὸ παλαιῶν φίλων ἀδικουμένοις, καινοὶ σύμμαχοι γενόμενοι, οὐ τὴν αὐτὴν γνώμην Λακεδαιμονίοις ἔχοντες· (οἱ μὲν γὰρ τῶν ἀγαθῶν αὐτοῖς ἐφθόνουν, οἱ δὲ ἀδικουμένους αὐτοὺς ἠλέουν, οὐ τῆς προτέρας ἔχθρας μεμνημένοι, ἀλλὰ τὴν παροῦσαν φιλίαν περὶ πολλοῦ ποιούμενοι·) πᾶσιν ἀνθρώποις φανερὰν τὴν αὑτῶν ἀρετὴν ἐπεδείξαντο. ἐτόλμησαν γὰρ, μεγάλην ποιοῦντες τὴν Ἑλλάδα, οὐ μόνον ὑπὲρ τῆς αὐτῶν σωτηρίας κινδυνεύειν, ἀλλὰ καὶ

ὀλοφύρεσθαι. οὐ γὰρ ἐλανθάνομεν ἅπαξ ἡμᾶς αὐτοὺς ὄντες θνητοί· ὥστε τί δεῖ, ἃ πάλαι προσεδοκῶμεν πείσεσθαι, ὑπὲρ τούτων νῦν ἄχθεσθαι; ἢ λίαν οὕτω βαρέως φέρειν ἐπὶ ταῖς τῆς φύσεως συμφοραῖς, ἐπισταμένους, ὅτι ὁ θάνατος κοινὸς καὶ τοῖς χειρίστοις καὶ τοῖς βελτίστοις; οὔτε γὰρ τοὺς πονηροὺς ὑπερορᾷ, οὔτε τοὺς ἀγαθοὺς θαυμάζει, ἀλλ' ἴσον ἑαυτὸν παρέχει πᾶσιν. εἰ μὲν γὰρ οἷόν τε ἦν τοῖς τοὺς ἐν τῷ πολέμῳ κινδύνους διαφυγοῦσιν ἀθανάτους εἶναι τὸν λοιπὸν χρόνον, ἄξιον ἦν τοῖς ζῶσι τὸν ἅπαντα χρόνον πενθεῖν τοὺς τεθνεῶτας. νῦν δὲ ἥ τε φύσις καὶ νόσων ἥττων καὶ γήρως, ὅ, τε δαίμων ὁ τὴν ἡμετέραν μοῖραν εἰληχὼς ἀπαραίτητος. ὥστε προσήκει τούτους εὐδαιμονεστάτους ἡγεῖσθαι, οἵτινες ὑπὲρ μεγίστων καὶ καλλίστων κινδυνεύοντες, οὕτως τὸν βίον ἐτελεύτησαν· οὐκ ἐπιτρέψαντες περὶ αὐτῶν τῇ τύχῃ, οὐδὲ ἀναμείναντες τὸν αὐτόματον θάνατον, ἀλλ' ἐκλεξάμενοι τὸν κάλλιστον. καὶ τοίγαρ ἀγήρατοι μὲν αὐτῶν αἱ μνῆμαι, ζηλωταὶ δὲ [αὐτῶν] ὑπὸ πάντων ἀνθρώπων αἱ τιμαί· οἳ πενθοῦνται μὲν διὰ τὴν φύσιν ὡς θνητοὶ, ὑμνοῦνται δὲ ὡς ἀθάνατοι διὰ τὴν ἀρετήν. καὶ γάρτοι θάπτονται δημοσίᾳ, καὶ ἀγῶνες τίθενται ἐπ' αὐτοῖς ῥώμης καὶ σοφίας καὶ πλούτου, ὡς ἀξίους ὄντας τοὺς ἐν τῷ πολέμῳ τετελευτηκότας ταῖς αὐταῖς τιμαῖς καὶ τοὺς ἀθανάτους τιμᾶσθαι. ἐγὼ μὲν οὖν αὐτοὺς καὶ μακαρίζω τοῦ θανάτου καὶ ζηλῶ, καὶ μόνοις τούτοις ἀνθρώπων οἶμαι κρεῖττον εἶναι γενέσθαι, οἵτινες, ἐπειδὴ θνητῶν σωμάτων ἔτυχον,

ν μνήμην διὰ τὴν ἀρετὴν αὐτῶν κατέλιπον. ἀνάγκη τοῖς ἀρχαίοις ἔθεσι χρῆσθαι, καὶ οντας τὸν πάτριον νόμον, ἀλοφύρεσθαι πτομένους.

ΛΥΣΙΟΥ

ΛΟΓΙΑ ΠΡΟΣ ΣΙΜΩΝΑ.

καὶ δεινὰ συνειδὼς Σίμωνι, ὦ βουλὴ, οὐκ αὐτὸν εἰς τοσοῦτον τόλμης ἠγησάμην ἀφικῶστε ὑπὲρ ὧν αὐτὸν ἔδει δοῦναι δίκην, ὑπὲρ ὡς ἀδικούμενον ἔγκλημα ποιήσασθαι, καὶ ναν καὶ σεμνὸν ὅρκον διομοσάμενον εἰς ὑμᾶς εἰ μὲν οὖν ἄλλοι τινὲς ἔμελλον περὶ ἐμοῦ εσθαι, σφόδρα ἂν ἐφοβούμην τὸν κίνδυνον, τι καὶ παρασκευαὶ καὶ τύχαι ἐνίοτε τοιαῦνται, ὥστε πολλὰ καὶ παρὰ γνώμην ἀποτοῖς κινδυνεύουσιν· ἐς ὑμᾶς δ' εἰσελθὼν, ὧν δικαίων τεύξεσθαι. μάλιστα δ' ἀγανακουλὴ, ὅτι περὶ τῶν τραυμάτων εἰπεῖν ἀναγμαι πρὸς ὑμᾶς, ὑπὲρ ὧν ἐγὼ αἰσχυνόμενος, εν πολλοί μοι συνείσεσθαι, ἠνεσχόμην ἀδι-. ἐπειδὴ δὲ Σίμων με εἰς τοιαύτην ἀνάγκην ιεν, οὐδὲν ἀποκρυψάμενος, ἅπαντα διηγή-

σομαι πρὸς ὑμᾶς τὰ πεπραγμένα. ἀξιῶ δὲ, ὦ βουλὴ, εἰ μὲν ἀδικῶ, μηδεμιᾶς συγγνώμης τυγχάνειν· ἐὰν δὲ περὶ τούτων ἀποδείξω, ὡς οὐκ ἔνοχός εἰμι οἷς Σίμων διωμόσατο, ἄλλως δὲ ὑμῖν φαίνωμαι παρὰ τὴν ἡλικίαν τὴν ἐμαυτοῦ ἀνοητότερον πρὸς τὸ μειράκιον διατεθεὶς, αἰτοῦμαι ὑμᾶς μηδέν με χείρω νομίζειν· εἰδότας, ὅτι ἐπιθυμῆσαι μὲν ἅπασιν ἀνθρώποις ἔνεστιν, οὗτος δὲ βέλτιστος ἂν εἴη καὶ σωφρονέστατος, ὅστις κοσμιώτατα τὰς συμφορὰς φέρειν δύναται. οἷς ἅπασιν ἐμποδὼν ἐμοὶ γεγένηται Σίμων οὗτος, ὡς ἐγὼ ὑμῖν ἐπιδείξω. ἡμεῖς γὰρ ἐπεθυμήσαμεν, ὦ βουλὴ, Θεοδότου, Πλαταϊκοῦ μειρακίου· καὶ ἐγὼ μὲν, εὖ ποιῶν αὐτὸν, ἠξίουν εἶναί μοι φίλον· οὗτος δὲ, ὑβρίζων καὶ παρανομῶν, ᾤετο ἀναγκάσειν αὐτὸν ποιεῖν ὅ, τι βούλοιτο. ὅσα μὲν οὖν ἐκεῖνος κακὰ ὑπ' αὐτοῦ πέπονθε, πολὺ ἂν ἔργον εἴη λέγειν· ὅσα δὲ εἰς ἐμὲ αὐτὸν ἐξημάρτηκεν, ἡγοῦμαι ταῦθ' ὑμῖν προσήκειν ἀκοῦσαι. πυθόμενος γὰρ, ὅτι τὸ μειράκιον ἦν παρ' ἐμοὶ, ἐλθὼν ἐπὶ τὴν οἰκίαν τὴν ἐμὴν νύκτωρ μεθύων, ἐκκύψας τὰς θύρας, εἰσῆλθεν εἰς τὴν γυναικωνῖτιν· ἔνδον οὐσῶν τῆς τε ἀδελφῆς τῆς ἐμῆς καὶ τῶν ἀδελφιδῶν· αἳ οὕτω κοσμίως βεβιώκασιν, ὥστε καὶ ὑπὸ τῶν οἰκείων ὁρώμεναι αἰσχύνεσθαι. οὗτος τοίνυν εἰς τοῦτο ἦλθεν ὕβρεως, ὥστ' οὐ πρότερον ἠθέλησεν ἀπελθεῖν, πρὶν αὐτὸν, ἡγούμενοι δεινὰ ποιεῖν, οἱ παραγενόμενοι, καὶ οἱ μετ' αὐτοῦ ἐλθόντες, ἐπὶ παῖδας κόρας καὶ ὀρφανὰς εἰσιόντα, ἐξήλασαν βίᾳ. καὶ τοσούτου ἐδέησεν αὐτὸν μεταμελῆσαι τῶν ὑβρισμένων, ὥστε, ἑξευρὼν οὗ

ἐδειπνοῦμεν, ἀτοπώτατον πρᾶγμα καὶ ἀπιστότατον ἐποίησεν, εἰ μή τις εἰδείη τὴν τούτου μανίαν. ἐκκαλέσας γάρ με ἔνδοθεν, ἐπειδὴ τάχιστα ἐξῆλθον, εὐθύς με τύπτειν ἐπεχείρησεν· ἐπειδὴ δὲ αὐτὸν ἠμυνάμην, ἐνστὰς ἔβαλλέ με λίθοις. καὶ ἐμοῦ μὲν ἁμαρτάνει, Ἀριστοκρίτου δὲ, ὃς παρ' ἐμὲ ἦλθε μετ' αὐτοῦ, βαλὼν λίθῳ συντρίβει τὸ μέτωπον. ἐγὼ τοίνυν, ὦ βουλὴ, ἡγούμενος μὲν δεινὰ πάσχειν, αἰσχυνόμενος δὲ (ὅπερ ἦδη καὶ πρότερον εἶπον) τῇ συμφορᾷ, ἠνειχόμην, καὶ μᾶλλον ἥρουμην μὴ λαβεῖν τούτων τῶν ἁμαρτημάτων δίκην, ἢ δόξαι τοῖς πολίταις ἀνδητος εἶναι· εἰδὼς, ὅτι τῇ μὲν τούτου πονηρίᾳ πρέποντα ἔσται τὰ πεπραγμένα, ἐμοῦ δὲ πολλοὶ καταγελάσονται τοιαῦτα πάσχοντος, τῶν φθονεῖν εἰθισμένων, ἐάν τις ἐν τῇ πόλει προθυμῆται χρηστὸς εἶναι. οὕτω δὲ σφόδρα ἠπορούμην ὅ, τι χρησαίμην, ὦ βουλὴ, τῇ τούτου παρανομίᾳ, ὥστε ἔδοξε μοι κράτιστον εἶναι ἀποδημῆσαι ἐκ τῆς πόλεως. λαβὼν δὴ τὸ μειράκιον (ἅπαντα γὰρ δεῖ τἀληθῆ λέγειν) ᾠχόμην ἐκ τῆς πόλεως. ἐπειδὴ δὲ ᾤμην ἱκανὸν εἶναι τὸν χρόνον Σίμωνι, ἐπιλαθέσθαι μὲν τοῦ νεανίσκου, μεταμελῆσαι δὲ τῶν πρότερον ἡμαρτημένων, ἀφικνοῦμαι πάλιν. κἀγὼ μὲν ᾠχόμην εἰς Πειραιᾶ, οὗτος δ' αἰσθόμενος εὐθέως ἥκοντα τὸν Θεόδοτον, καὶ διατρίβοντα παρὰ Λυσιμάχῳ, ὃς ᾤκει πλησίον τῆς οἰκίας, ἧς οὗτος ἐμεμίσθωτο, παρεκάλεσε τινὰς τῶν τούτου ἐπιτηδείων. καὶ οὗτοι μὲν ἠρίστων καὶ ἔπινον· φύλακας δὲ κατέστησαν ἐπὶ τοῦ τέγους, ἵν', ὁπότε ἐξέλθοι τὸ μειράκιον, εἰσαρπάσαιεν αὐτόν.

ἐν δὲ τούτῳ τῷ καιρῷ ἀφικνοῦμαι ἐγὼ ἐκ Πειραιέως, καὶ τρέπομαι παριὼν ὡς τὸν Ἀυσίμαχον. ὀλίγον δὲ χρόνον διατρίψαντες, ἐξερχόμεθα. ἤδη μεθύοντες οὗτοι δ' ἐκπηδῶσιν ἐφ' ἡμᾶς. καὶ οἱ μέν τινες αὐτῷ τῶν παραγενομένων οὐκ ἠθέλησαν συνεξαμαρτεῖν, Σίμων δὲ οὗτοσὶ καὶ Θεόφιλος καὶ Πρώταρχος καὶ Αὐτοκλῆς εἵλκον τὸ μειράκιον. ὁ δὲ, ῥίψας τὸ ἱμάτιον, ᾤχετο φεύγων. ἐγὼ δὲ ἡγούμενος ἐκεῖνον μὲν ἐκφεύξεσθαι, τούτους δ', ἐπειδὴ τάχιστα ἐντύχοιεν ἀνθρώποις, αἰσχυνομένους ἀποτρέψεσθαι· ταῦτα δὴ διανοηθεὶς, ἑτέραν ὁδὸν ᾠχόμην ἀπιών· οὕτω σφόδρ' αὐτοὺς ἐφυλαττόμην, καὶ πάντα ταῦτα ὑπὸ τούτων γιγνόμενα μεγάλην ἐμαυτῷ συμφορὰν ἐνόμιζον. καὶ ταῦτα μὲν ἵνα φησὶ Σίμων τὴν μάχην γενέσθαι, οὔτε τούτων, οὔτε ἡμῶν οὐδεὶς, οὔτε κατεάγη τὴν κεφαλὴν, οὔτε ἄλλο κακὸν οὐδὲν ἔπαθεν ὡς ἐγὼ τοὺς παραγενομένους ὑμῖν μάρτυρας παρέξομαι. ΜΑΡΤΤΡΙΑΙ. Ὅτι μὲν τοίνυν οὗτος ὁ ἀδικήσας, ὦ βουλὴ, καὶ ἐπιβουλεύσας ἡμῖν, οὐκ ἐγὼ τούτῳ, ὑπὸ τῶν παραγενομένων μεμαρτύρηται ὑμῖν. μετὰ δὲ ταῦτα τὸ μὲν μειράκιον γναφεῖον κατέφυγεν, οὗτοι δὲ συνεισπεσόντες, τὴν αὐτὸν βίᾳ, βοῶντα καὶ κεκραγότα, καὶ μαρτύρονον. συνδραμόντων δὲ ἀνθρώπων πολλῶν, καὶ νακτούντων τῷ πράγματι, καὶ δεινὰ φασκόντι ναι τὰ γινόμενα, τῶν μὲν λεγομένων οὐδὲν ἐφζον, Μόλωνα δὲ τὸν γραφέα καὶ ἄλλους τινὰς μύνειν ἐπιχειροῦντας συνέκοψαν. ἤδη δὲ οὖσι παρὰ τὴν Λαμποῦς οἰκίαν, ἐγὼ μόνος β

ἐπιγχάνω. δεινὸν δὲ ἡγησάμενος εἶναι καὶ αἰσχρὸν παῖδεῖν οὕτως ἀνόμως καὶ βιαίως ὕβρισθέντα τὸν νεανίσκον, ἐπιλαμβάνομαι αὐτοῦ. οὗτοι δέ, διότι μὲν τοιαῦτα παρηνόμουν εἰς ἐκεῖνον, οὐκ ἠθέλησαν ὑπεῖν ἐρωτηθέντες. ἄφεμενοι δὲ τοῦ νεανίσκου, ἵεσθον ἐμέ. μάχης δὲ γενομένης, ὦ βουλή, καὶ τοῦ μειρακίου βάλλοντος αὐτοὺς, καὶ περὶ τοῦ σώματος ἀμυνομένου, καὶ τούτων ἡμᾶς βαλλόντων, ἵπι δὲ τυπτόντων αὐτῶν ὑπὸ τῆς μάθης, καὶ ἐμοῦ ἀμυνομένου, καὶ τῶν παραγενομένων ὡς ἀδικουμένοις ἡμῖν ἁπάντων ἐπικουρούντων· ἐν τούτῳ τῷ θορύβῳ συντριβόμεθα τὰς κεφαλὰς ἅπαντες. καὶ οἱ μὲν ἄλλοι, οἱ μετὰ τούτου παροινήσαντες, ἐπειδὴ τάχιστά με εἶδον μετὰ ταῦτα, ἐδέοντό μου συγγνώμην ἔχειν, οὐχ ὡς ἀδικούμενοι, ἀλλ' ὡς δεινὰ πεποιηκότες. καὶ ἐξ ἐκείνου τοῦ χρόνου τεττάρων ἐτῶν παρεληλυθότων, οὐδέν μοι πώποτε ἐνεκάλεσεν οὐδείς. Σίμων δ' οὗτοσὶ, ὁ πάντων τῶν κακῶν αἴτιος γενόμενος, τὸν μὲν ἄλλον χρόνον ἡσυχίαν ἦγε, δεδιὼς περὶ αὑτοῦ· ἐπειδὴ δὲ δίκας ἰδίας ἦσθετο καινῶς ἀγωνισάμενον ἐξ ἀντιδόσεως, καταφρονήσας μου, οὕτωσὶ τολμηρῶς εἰς τοιοῦτον ἀγῶνά με κατέστησεν. ὡς οὖν καὶ ταῦτ' ἀληθῆ λέγω, τούτων ὑμῖν τοὺς παραγενομένους μάρτυρας παρέξομαι. ΜΑΡΤΤΡΕΣ. Τὰ μὲν οὖν γεγενημένα, καὶ ἐμοῦ καὶ τῶν μαρτύρων ἀκηκόατε. ἐβουλόμην δ' ἄν, ὦ βουλή, Σίμωνα τὴν αὐτὴν γνώμην ἐμοὶ ἔχειν, ἵν' ἀμφοτέρων ἡμῶν ἀκούσαντες τἀληθῆ, ῥᾳδίως ἔγνωτε τὰ δίκαια. ἐπειδὴ δὲ αὐτῷ οὐδὲν μέλει τῶν ὅρκων,

ὧν διωμόσατο, πειράσομαι καὶ περὶ ὧν οὗτος ἔψει
σται, διδάσκειν ὑμᾶς. ἐτόλμησε γὰρ εἰπεῖν, ὡς αἱ
τὸς μὲν τριακοσίας δραχμὰς ἔδωκε Θεοδότῳ, συνθή
κας πρὸς αὐτὸν ποιησάμενος, ἐγὼ δ' ἐπιβουλεύσα
ἀπέστησα αὐτοῦ τὸ μειράκιον. καίτοι ἐχρῆν αὐτὸν
εἴπερ ἦν ταῦτ' ἀληθῆ, παρακαλέσαντα μάρτυρας ἃ
πλείστους, κατὰ τοὺς νόμους διαπράττεσθαι περ
αὐτῶν. οὗτος δὲ τοιοῦτον οὐδὲν πώποτε φαίνετο
ποιήσας, ὑβρίζων δὲ καὶ τύπτων ἀμφοτέρους ἡμᾶς
καὶ κωμάζων, καὶ τὰς θύρας ἐκβάλλων, καὶ νύκτω
εἰσιὼν ἐπὶ γυναῖκας ἐλευθέρας. ἃ χρὴ μάλιστα,
βουλὴ, τεκμήρια νομίζειν, ὅτι ψεύδεται πρὸς ὑμᾶς
σκέψασθε δὲ, ὡς ἄπιστα εἴρηκε. τὴν γὰρ οὐσία
τὴν ἑαυτοῦ ἅπασαν πεντήκοντα καὶ διακοσίων δρα
χμῶν ἐτιμήσατο. καίτοι θαυμαστὸν, εἰ τὸν ἑταίρο
σοντα πλειόνων ἐμισθώσατο, ὧν αὐτὸς τυγχάν
κεκτημένος. εἰς τοῦτο δ' ἦκει τόλμης, ὥστε οὐκ
αρκεῖ περὶ τούτου μόνον αὐτῷ ψεύσασθαι, περὶ
δεδωκέναι τὸ ἀργύριον, ἀλλὰ καὶ κεκομίσθαι φη
καίτοι πῶς εἰκός ἐστι, τότε μὲν ἡμᾶς τοιαῦτα
μαρτάνειν, οἷα κατηγόρηκεν οὗτος, ἀποστερ
βουλομένους τὰς τριακοσίας δραχμάς· ἐπειδ
ἀπεμαχεσάμεθα, τηνικαῦτα ἀποδοῦναι τὸ ἀρ
αὐτῷ, μήτε ἀφειμένους τῶν ἐγκλημάτων, μ
νάγκης ἡμῖν μηδεμιᾶς γενομένης; ἀλλὰ γὰρ,
λῆ, πάντα αὐτῷ ταῦτα συγκειται καὶ μεμηχ
καὶ δοῦναι μέν φησιν, ἵνα μὴ δοκῇ δεινὰ π
μηδενὸς αὐτῷ συμβολαίου γεγενημένου,
ἐτόλμα ὑβρίζειν τὸ μειράκιον· ἀπειληφέναι

διότι φανερός ἐστιν ἐγκαλέσας σὐδέποτ
, οὐδὲ μνείαν περὶ τούτου οὐδεμίαν ποιη-
φησὶ δ' ἐπὶ ταῖς αὐτοῦ θύραις ὑπ' ἐμοῦ
κτεθῆναι τυπτόμενος. φαίνεται δὲ πλεῖον
ι στάδια ἀπὸ τῆς οἰκίας διώξας τὸ μειρά-
δὲν κακὸν ἔχων. καὶ ταῦτα πλέον ἢ διακο-
των ἀνθρώπων, ἔξαρνός ἐστι. λέγει δ', ὡς
ομεν ἐπὶ τὴν οἰκίαν τὴν τούτου ὄστρακον
καὶ ὡς ἠπείλουν αὐτῷ ἐγὼ ἀποκτενεῖν· καὶ
ἐστιν ἡ πρόνοια. ἐγὼ δὲ ἡγοῦμαι, ὦ βου-
ον εἶναι γνῶναι, ὅτι ψεύδεται, οὐ μόνον
εἰωθόσι σκοπεῖσθαι περὶ τῶν τοιούτων,
τοῖς ἄλλοις ἅπασι. τῷ γὰρ ἂν δόξειε πι-
ἐγὼ προνοηθεὶς καὶ ἐπιβουλεύων ἦλθον
ίμωνος οἰκίαν μεθ' ἡμέραν, μετὰ τοῦ μει-
οσούτων ἀνθρώπων παρ' αὐτῷ συνειλεγμέ-
μὴ εἰς τοῦτο μανίας ἀφικόμην, ὥστε ἐπι-
ς ὧν πολλοῖς μάχεσθαι· ἄλλως τε καὶ εἰ-
ἀσμένως ἄν με εἶδεν ἐπὶ ταῖς θύραις ταῖς
ς καὶ ἐπὶ τὴν ἐμὴν οἰκίαν φοιτῶν εἰσῄει
οὔτε τῆς ἀδελφῆς, οὔτε τῶν ἀδελφιδῶν
;, ζητεῖν με ἐτόλμα· καὶ ἐξευρὼν οὗ δει-
χανον, ἐκκαλέσας ἔτυπτέ με. καὶ τότε μὲν
μὴ περιβόητος εἴην, ἡσυχίαν ἦγον, συμ-
αυτοῦ νομίζων τὴν τούτου πονηρίαν· ἐπει-
νος διεγένετο, πάλιν (ὡς οὗτός φησιν) ἐπε-
τεριβόητος γενέσθαι; καὶ εἰ μὲν ἦν παρὰ
μειράκιον, εἶχεν ἄν τινα λόγον τὸ ψεῦδος
; ἆρ' ἐγὼ διὰ τὴν ἐπιθυμίαν ἠναγκαζόμην

ὧν διωμόσατο, πειράσομαι καὶ περὶ ὧν οὗτος ἔ[illegible]σται, διδάσκειν ὑμᾶς. ἐτόλμησε γὰρ εἰπεῖν, ὡς αἱ τὸς μὲν τριακοσίας δραχμὰς ἔδωκε Θεοδότῳ, συ[illegible]κας πρὸς αὐτὸν ποιησάμενος, ἐγὼ δ' ἐπιβουλεύσ[illegible] ἀπέστησα αὐτοῦ τὸ μειράκιον. καίτοι ἐχρῆν αὐτὸ εἴπερ ἦν ταῦτ' ἀληθῆ, παρακαλέσαντα μάρτυρας πλείστους, κατὰ τοὺς νόμους διαπράττεσθαι πε[illegible] αὐτῶν. οὗτος δὲ τοιοῦτον οὐδὲν πώποτε φαίνετ[illegible] ποιήσας, ὑβρίζων δὲ καὶ τύπτων ἀμφοτέρους ἡμᾶς, καὶ κωμάζων, καὶ τὰς θύρας ἐκβάλλων, καὶ νύκτωρ εἰσιὼν ἐπὶ γυναῖκας ἐλευθέρας. ἃ χρὴ μάλιστα, ὦ βουλὴ, τεκμήρια νομίζειν, ὅτι ψεύδεται πρὸς ὑμᾶς. σκέψασθε δὲ, ὡς ἄπιστα εἴρηκε. τὴν γὰρ οὐσίαν τὴν ἑαυτοῦ ἅπασαν πεντήκοντα καὶ διακοσίων δραχμῶν ἐτιμήσατο. καίτοι θαυμαστὸν, εἰ τὸν ἑταιρήσοντα πλειόνων ἐμισθώσατο, ὧν αὐτὸς τυγχάνει κεκτημένος. εἰς τοῦτο δ' ἦκει τόλμης, ὥστε οὐκ ἐξαρκεῖ περὶ τούτου μόνον αὐτῷ ψεύσασθαι, περὶ τοῦ δεδωκέναι τὸ ἀργύριον, ἀλλὰ καὶ κεκομίσθαι φησί· καίτοι πῶς εἰκός ἐστι, τότε μὲν ἡμᾶς τοιαῦτα ἐξαμαρτάνειν, οἷα κατηγόρηκεν οὗτος, ἀποστερῆσαι βουλομένους τὰς τριακοσίας δραχμάς· ἐπειδὴ δὲ ἀπεμαχεσάμεθα, τηνικαῦτα ἀποδοῦναι τὸ ἀργύριον αὐτῷ, μήτε ἀφειμένους τῶν ἐγκλημάτων, μήτε ἀνάγκης ἡμῖν μηδεμιᾶς γενομένης; ἀλλὰ γὰρ, ὦ βουλὴ, πάντα αὐτῷ ταῦτα σύγκειται καὶ μεμηχάνηται. καὶ δοῦναι μέν φησιν, ἵνα μὴ δοκῇ δεινὰ ποιεῖν, εἰ μηδενὸς αὐτῷ συμβολαίου γεγενημένου, τοιαῦτα ἐτόλμα ὑβρίζειν τὸ μειράκιον· ἀπειληφέναι δὲ προς-

τοιεῖται, διότι φανερός ἐστιν ἐγκαλέσας οὐδέποτ' ἀργύριον, οὐδὲ μνείαν περὶ τούτου οὐδεμίαν ποιησάμενος. φησὶ δ' ἐπὶ ταῖς αὐτοῦ θύραις ὑπ' ἐμοῦ δεινῶς διατεθῆναι τυπτόμενος. φαίνεται δὲ πλεῖον ἢ τέτταρα στάδια ἀπὸ τῆς οἰκίας διώξας τὸ μειράκιον, οὐδὲν κακὸν ἔχων. καὶ ταῦτα πλέον ἢ διακοσίων ἰδόντων ἀνθρώπων, ἔξαρνός ἐστι. λέγει δ', ὡς ἡμεῖς ἦλθομεν ἐπὶ τὴν οἰκίαν τὴν τούτου ὄστρακον ἔχοντες, καὶ ὡς ἠπείλουν αὐτῷ ἐγὼ ἀποκτενεῖν· καὶ ὡς τοῦτό ἐστιν ἡ πρόνοια. ἐγὼ δὲ ἡγοῦμαι, ὦ βουλή, ῥᾴδιον εἶναι γνῶναι, ὅτι ψεύδεται, οὐ μόνον ὑμῖν τοῖς εἰωθόσι σκοπεῖσθαι περὶ τῶν τοιούτων, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασι. τῷ γὰρ ἂν δόξειε πιστόν, ὡς ἐγὼ προνοηθεὶς καὶ ἐπιβουλεύων ἦλθον ἐπὶ τὴν Σίμωνος οἰκίαν μεθ' ἡμέραν, μετὰ τοῦ μειρακίου, τοσούτων ἀνθρώπων παρ' αὐτῷ συνειλεγμένων; εἰ μὴ εἰς τοῦτο μανίας ἀφικόμην, ὥστε ἐπιθυμεῖν εἷς ὢν πολλοῖς μάχεσθαι· ἄλλως τε καὶ εἰδὼς, ὅτι ἀσμένως ἄν με εἶδεν ἐπὶ ταῖς θύραις ταῖς αὐτοῦ· ὃς καὶ ἐπὶ τὴν ἐμὴν οἰκίαν φοιτῶν εἰσῄει βίᾳ, καὶ οὔτε τῆς ἀδελφῆς, οὔτε τῶν ἀδελφιδῶν φροντίσας, ζητεῖν με ἐτόλμα· καὶ ἑξευρὼν οὗ δειπνῶν ἐτύγχανον, ἐκκαλέσας ἔτυπτέ με. καὶ τότε μὲν ἄρα, ἵνα μὴ περιβύητος εἴην, ἡσυχίαν ἦγον, συμφορὰν ἐμαυτοῦ νομίζων τὴν τούτου πονηρίαν· ἐπειδὴ δὲ χρόνος διεγένετο, πάλιν (ὡς οὗτός φησιν) ἐπεθύμησα περιβύητος γενέσθαι; καὶ εἰ μὲν ἦν παρὰ τούτῳ τὸ μειράκιον, εἶχεν ἄν τινα λόγον τὸ ψεῦδος αὐτῷ, ὡς ἆρ' ἐγὼ διὰ τὴν ἐπιθυμίαν ἠναγκαζόμην

ἀνοητότερόν τι ποιεῖν τῶν εἰκότων· νῦν δὲ τούτῳ μὲν οὐδὲ διελέγετο, ἀλλ' ἐμίσει πάντων ἀνθρώπων μάλιστα· παρ' ἐμοὶ δὲ ἐτύγχανε διαιτώμενον. ὥστε τῷ ὑμῶν πιστὸν, ὡς ἐγὼ πρότερον μὲν ἐξέπλευσα ἐκ τῆς πόλεως ἔχων τὸ μειράκιον, ἵνα μὴ τούτῳ μαχοίμην· ἐπειδὴ δὲ ἀφικόμην, πάλιν ἦγον αὐτὸν ἐπὶ τὴν οἰκίαν τὴν Σίμωνος, οὗ πλεῖστα ἔμελλον πράγματα ἕξειν; καὶ ἐπεβούλευον μὲν αὐτῷ, οὕτω δὲ ἦλθον ἀπαράσκευος, ὥστε μήτε φίλους, μήτε οἰκέτας, μήτε ἄλλον ἄνθρωπον παρακαλέσαι μηδένα; εἰ μὴ τοῦτό γε τὸ παιδίον, ὃ ἐπικουρῆσαι μέν μοι οὐκ ἂν ἠδύνατο, μηνύσαι δὲ ἱκανὸν ἦν βασανιζόμενον, εἴ τι ἐγὼ ἐξημάρτανον. ἀλλ' εἰς τοσοῦτον ἀμαθείας ἀφικόμην, ὥστε ἐπιβουλεύων Σίμωνι, οὐκ ἐτήρησα αὐτὸν, οὗ μόνον οἷόν τε ἦν λαβεῖν, ἢ νύκτωρ, ἢ μεθ' ἡμέραν, ἀλλ' ἐνταῦθα ἦλθον, οὗ αὐτὸς ἔμελλον ὑπὸ πλείστων ὀφθήσεσθαί τε καὶ συγκοπήσεσθαι, ὥσπερ κατ' ἐμαυτοῦ τὴν πρόνοιαν ἐξευρίσκων, ἵν' ὡς μάλιστα ὑπὸ τῶν ἐχθρῶν ὑβρισθείην. ἔτι τοίνυν, ὦ βουλὴ, καὶ ἐκ τῆς μάχης τῆς γενομένης ῥᾴδιον γνῶναι, ὅτι ψεύδεται. τὸ γὰρ μειράκιον ὡς ἔγνω, ῥίψαν θοιμάτιον, φεῦγον ᾤχετο· οὗτοι δὲ αὐτὸ ἐπεδίωκον· ἐγὼ δὲ ἑτέραν ἀπελθὼν ὁδὸν ᾠχόμην· καίτοι ποτέρους χρῆν αἰτίους τῶν γεγενημένων εἶναι νομίζειν; τοὺς φεύγοντας, ἢ τοὺς ζητοῦντας καταλαβεῖν; ἐγὼ μὲν γὰρ ἡγοῦμαι πᾶσιν εἶναι δῆλον, ὅτι φεύγουσι μὲν οἱ περὶ αὐτῶν δεδιότες, διώκουσι δὲ οἱ βουλόμενοί τι ποιῆσαι κακόν. οὐ τοίνυν ταῦτα μὲν εἰκότα, ἄλλως δὲ παρ' αὐτῶν

ἐπράκταις, ἀλλὰ καταλαβόντες τὸ μειράκιον, ἐκ τῆς
λοῦ ἦγον βίᾳ· ἐντυχὼν δ' ἐγὼ, τούτων μὲν οὐχ
τόμην, τοῦ μειρακίου δ' ἐπελαμβανόμην. οἵτοι
ἐκεῖνόν τε ἦγον βίᾳ, καὶ ἐμὲ ἔτυπτον· καὶ ταῦθ'
ἰῶν ὑπὸ τῶν παραγενομένων μεμαρτύρηται. ὥστε
ινὸν, εἰ περὶ τούτων ἐγὼ δόξω προνοηθῆναι, περὶ
ν οὗτοι τυγχάνουσιν οὕτω δεινὰ καὶ παράνομα πε-
ιηκότες. τί δ' ἄν ποτε ἔπαθον, εἰ τἀναντία τῶν
ἰν γεγενημένων ἦν· εἰ πολλοὺς ἔχων τῶν ἐπιτη-
ίων ἐγὼ, ἀπαντήσας Σίμωνι, ἐμαχόμην αὐτῷ, καὶ
νπτον αὐτὸν, καὶ ἐδίωκον, καὶ καταλαβὼν ἄγειν
ᾳ ἐζήτουν· ὅπου νῦν, τούτου ταῦτα πεποιηκότος,
ὼ εἰς τοιοῦτον ἀγῶνα καθέστηκα, ἐν ᾧ καὶ περὶ
ἰς πατρίδος καὶ τῆς οὐσίας τῆς ἐμαυτοῦ ἁπάσης
νδυνεύω; τὸ δὲ μέγιστον καὶ περιφανέστατον πάν-
ιν· ὁ γὰρ ἀδικηθεὶς καὶ ἐπιβουλευθεὶς ὑπ' ἐμοῦ,
: φησιν, οὐκ ἐτόλμησε τεττάρων ἐτῶν ἐπισκήψα-
θαι εἰς ὑμᾶς. καὶ οἱ μὲν ἄλλοι, ὅταν ἐρῶσι καὶ
ποστερῶνται ὧν ἐπιθυμοῦσι, καὶ συγκοπῶσιν, ὀρ-
ζόμενοι παραχρῆμα τιμωρεῖσθαι ζητοῦσιν, οὗτος
χρόνοις ὕστερον. ὅτι μὲν οὖν, ὦ βουλὴ, οὐδενὸς
τιός εἰμι τῶν γεγενημένων, ἱκανῶς ἀποδεδεῖχθαι
μίζω. Οὕτω δὲ διάκειμαι πρὸς τὰς ἐκ τῶν τοιού-
ον πραγμάτων διαφοράς, ὥστε καὶ ἄλλα πολλὰ ὑ-
ισμένος ὑπὸ Σίμωνος, καὶ κατεαγεὶς τὴν κεφαλὴν
τ' αὐτοῦ, οὐκ ἐτόλμησα αὐτῷ ἐπισκήψασθαι· ἡ-
ούμενος δεινὸν εἶναι, εἴ ἄρα περὶ παιδικῶν ἐφι-
νεικήσαμεν ἡμεῖς πρὸς ἀλλήλους, τούτου ἕνεκεν
ελάσαι τινὰς ζητῆσαι ἐκ τῆς πατρίδος. ἔπειτα δὲ

καὶ οὐδεμίαν ἡγούμην πρόνοιαν εἶναι τραύματος, ὅστις μὴ ἀποκτεῖναι βουλόμενος ἔτρωσε. τίς γὰρ οὕτως ἐστὶν εὐήθης, ὅστις ἐκ πολλοῦ προνοεῖται, ὅπως ἕλκος τὶς αὐτοῦ τῶν ἐχθρῶν λήψεται; ἀλλὰ δῆλον, ὅτι καὶ οἱ τυὸς νόμους ἐνθάδε θέντες, οὐκ εἴ τινες μαχεσάμενοι ἔτυχον ἀλλήλων κατεάξαντες τὰς κεφαλὰς, ἐπὶ τούτοις ἠξίωσαν τῆς πατρίδος φυγὴν ποιήσασθαι, (ἢ πολλοὺς γ' ἂν ἐξήλασαν,) ἀλλ' ὅσοι ἐπιβουλεύσαντες ἀποκτεῖναι τινὰς ἔτρωσαν, ἀποκτεῖναι δὲ οὐκ ἠδυνήθησαν, περὶ τῶν τοιούτων τὰς τιμωρίας οὕτω μεγάλας κατεστήσαντο· ἡγούμενοι, ὑπὲρ ὧν ἐβούλευσαν καὶ προὐνοήθησαν, ὑπὲρ τούτων προσήκειν αὐτοῖς δίκην δοῦναι· εἰ δὲ μὴ κατέσχον, οὐδὲν ἧττον τό γε ἐπ' ἐκείνων πεποιῆσθαι. καὶ ταῦτα ἤδη καὶ πρότερον πολλάκις ὑμεῖς οὕτω διέγνωτε περὶ τῆς προνοίας. καὶ γὰρ δεινὸν εἴη, εἰ ὅσοι ἐκ μέθης καὶ φιλονεικίας, ἢ ἐκ παιδικῶν, ἢ ἐκ λοιδορίας, ἢ περὶ ἑταίρας μαχόμενοι, ἕλκος ἔλαβον, ἢ ὑπὲρ τούτων, ὧν, ἐπειδὰν βέλτιον φρονήσωσιν, ἅπασι μεταμέλει, οὕτως ὑμεῖς μεγάλας καὶ δεινὰς τὰς τιμωρίας ποιήσαισθε, ὥστε ἐξελαύνειν τινὰς τῶν πολιτῶν ἐκ τῆς πατρίδος. θαυμάζω δὲ μάλιστα τούτου τῆς διανοίας. οὐ γὰρ τοῦ αὐτοῦ μοι δοκεῖ εἶναι ἐρᾶν τε καὶ συκοφαντεῖν· ἀλλὰ τὸ μὲν, τῶν εὐηθεσιέρων· τὸ δὲ, τῶν πανουργοτάτων. ἐβουλόμην δ' ἂν ἐξεῖναί μοι παρ' ὑμῖν καὶ ἐκ τῶν ἄλλων ἐπιδεῖξαι τὴν τούτου ποιηρίαν· ἵνα ἐπίστησθε, ὅτι πολὺ ἂν δικαιότερον αὐτὸς περὶ θανάτου ἠγωνίζετο, ἢ ἑτέρους ὑπὲρ τῆς πατρίδος εἰς κίνδυνον καθίστη. τὰ

οὖν ἄλλα ἐάσω· ὃ δ' ἡγοῦμαι ὑμῖν προσήκειν σαι, καὶ τεκμήριον ἔσεσθαι τῆς τούτου θρασύ-; καὶ τόλμης, περὶ τούτου μνησθήσομαι. ἐν νθῳ γὰρ, ἐπειδὴ ὕστερον ἦλθε τῆς πρὸς τοὺς υίους μάχης, καὶ τῆς εἰς Κορώνειαν στρατείας, ιτο τῷ ταξιάρχῳ Λάχητι, καὶ ἔτυπτεν αὐτὸν, καὶ τρατιᾷ τῶν πολιτῶν ἐξελθόντων, δόξας ἀκοτατος εἶναι καὶ πονηρότατος, μόνος Ἀθηναίων τῶν στρατηγῶν ἐξεκηρύχθη. ἔχοιμι δ' ἂν καὶ πολλὰ εἰπεῖν περὶ τούτου, ἀλλ' ἐπειδὴ παρ' οὐ νόμιμόν ἐστιν ἔξω τοῦ πράγματος λέγειν, ο ἐνθυμεῖσθε· οὗτοί εἰσιν οἱ βίᾳ εἰς τὴν ἡμετέ-ικίαν εἰσιόντες, οὗτοι οἱ διώκοντες, οὗτοι οἱ κ τῆς ὁδοῦ συναρπάζοντες ἡμᾶς, ὧν ὑμεῖς με-ένοι, τὰ δίκαια ψηφίζεσθε, καὶ μή με περιΐ-ἐκ τῆς πατρίδος ἀδίκως ἐκπεσόντα, ὑπὲρ ἧς ἐγὼ ὺς κινδύνους κεκινδύνευκα, καὶ πολλὰς λει-γίας λελειτούργηκα· καὶ κακοῦ μὲν αὐτῇ οὐδε-ἄτιος γεγένημαι, οὐδὲ τῶν ἐμῶν προγόνων οὐ-ἀγαθῶν δὲ πολλῶν. ὥστε δικαίως ἂν ὑφ' ὑμῶν πὸ τῶν ἄλλων ἐλεηθείην, οὐ μόνον εἴ τι πά-ι, ὧν Σίμων βούλεται, ἀλλὰ καὶ ὅτι ἠναγκά-, ἐκ τοιούτων πραγμάτων, εἰς τοιούτους ἀγῶ-ατα στῆναι.

ΛΥΣΙΟΥ

ΠΕΡΙ ΤΡΑΥΜΑΤΟΣ ΕΚ ΠΡΟΝΟΙΑΣ ΠΕΡΙ ΟΥ ΚΑΙ ΠΡΟΣ ΟΝ.

Θαυμαστόν γε, ὦ βουλή, τὸ διαμάχεσθαι περὶ τούτου, ὡς οὐκ ἐγένοντο ἡμῖν διαλλαγαί· καὶ τὸ μὲν ζεῦγος, καὶ τὰ ἀνδράποδα, καὶ ὅσα ἐξ ἀγροῦ κατὰ τὴν ἀντίδοσιν ἔλαβον, μὴ ἂν δύνασθαι ἀρνηθῆναι, ὡς οὐκ ἀπέδωκα· φανερῶς δὲ περὶ τούτων διαλελυμένον, ἀρνεῖσθαι τὰ περὶ τῆς ἀνθρώπου, μὴ κοινῇ ἡμᾶς χρῆσθαι συγχωρῆσαι. καὶ τὴν μὲν ἀντίδοσιν δι' ἐκείνην φανερός ἐστι ποιησάμενος, τὴν δ' αἰτίαν, δι' ἣν ἀπέδωκεν ἃ ἔλαβεν, οὐκ ἂν ἄλλην ἔχοι εἰπεῖν (βουλόμενος ταληθῆ λέγειν) ἢ ὅτι οἱ φίλοι περὶ πάντων ἡμᾶς τούτων συνήλλαξαν. ἐβουλόμην δ' ἂν μὴ ἀπολαχεῖν αὐτὸν κριτὴν Διονυσίοις· ἵν' ὑμῖν φανερὸς ἐγένετο ἐμοὶ διηλλαγμένος, κρίνας τὴν ἐμὴν φυλὴν νικᾷν· νῦν δὲ ἔγραψε μὲν ταῦτα εἰς τὸ γραμματεῖον, ἀπέλαχε δέ. καὶ ὅτι ἀληθῆ ταῦτα λέγω, Φιλῖνος καὶ Διοκλῆς ἴσασιν. ἀλλ' οὐκ ἔστ' αὐτοῖς μαρτυρῆσαι, μὴ διομοσαμένοις, περὶ τῆς αἰτίας, ᾗ ἐγὼ φεύγω. ἐπεὶ σαφῶς ἐγνωτ' ἄν, ὅτι ἡ-

μεῖς ἦμεν αὐτὸν οἱ κριτὴν ἐμβαλόντες, καὶ ἡμῶν εἵ-
νεκα ἐκαθέζετο. ἀλλ᾽ ἦν, εἰ βούλεται, ἐχθρός· (δί-
δωμι γὰρ αὐτῷ τοῦτο· οὐδὲν γὰρ διαφέρει) οὐκοῦν
ἦλθον [αὐτὸς] αὐτὸν ἀποκτενῶν, ὡς οὗτός φησι, καὶ
βίᾳ εἰς τὴν οἰκίαν εἰσῆλθον; διὰ τί οὖν οὐκ ἀπέ-
κτεινα, ὑποχείριον λαβὼν τὸ σῶμα, καὶ τοσοῦτον
κρατήσας, ὥστε καὶ τὴν ἄνθρωπον λαβεῖν; φρασά-
τω πρὸς ὑμᾶς. ἀλλ᾽ οὐκ ἔχει εἰπεῖν. καὶ μὴν οὐδείς
γε ὑμῶν ἀγνοεῖ, ὅτι θᾶττον ἂν ἐγχειριδίῳ πληγεὶς
ἀπέθανεν, ἢ πὺξ παιόμενος. φαίνεται τοίνυν οὐδ᾽
αὐτὸς αἰτιώμενος τοιοῦτόν τι ἔχοντας ἡμᾶς ἐλθεῖν·
ἀλλ᾽ ὀστράκῳ φησὶ πληγῆναι. καίτοι φανερὸν ἤδη
ἐξ ὧν εἴρηκεν, ὅτι οὐ πρόνοια γεγένηται. οὐ γὰρ
οὕτως ἤλθομεν, ἀδήλου ὄντος, εἰ παρὰ τούτῳ εὑ-
ρήσομεν ὄστρακον, ἢ οὕτως αὐτὸν ἀποκτενοῦμεν
ἀλλ᾽ οἴκοθεν ἔχοντες ἂν ἐβαδίζομεν. νῦν δ᾽ ὁμολο-
γούμεθα πρὸς παῖδας καὶ αὐλητρίδας καὶ μεστοὺς
οἴνου ἐλθόντες. ὥστε πῶς ταῦτ᾽ ἐστὶ πρόνοια; ἐγὼ
μὲν γὰρ οἶμαι οὐδαμῶς· ἀλλ᾽ οὗτος ἐναντίως τοῖς
ἄλλοις δύσερώς ἐστι, καὶ ἀμφότερα βούλεται, τό, τε
ἀργύριον μὴ ἀποδοῦναι, καὶ τὴν ἄνθρωπον ἔχειν.
εἶτα ὑπὸ τῆς ἀνθρώπου παρωξυμμένος, ὀξύχειρ λίαν
καὶ παροινός ἐστιν. ἀνάγκη δὲ ἀμύνασθαι. ἡ δὲ
τοτὲ μὲν ἐμὲ περὶ πολλοῦ, τοτὲ δὲ τοῦτον φησὶ ποι-
εῖσθαι, βουλομένη ὑπ᾽ ἀμφοτέρων ἐρᾶσθαι. καὶ
ἐγὼ μὲν καὶ ἐξ ἀρχῆς εὐκόλως εἶχον, καὶ νῦν ἔτι ἔχω·
ὁ δ᾽ εἰς τοῦτο βαρυδαιμονίας ἥκει, ὥστε οὐκ αἰσχύ-
νεται τραῦμά τε ὀνομάζων τὰ ὑπώπια, καὶ ἐν κλίνῃ
περιφερόμενος, καὶ δεινῶς προσποιούμενος διακεῖ-

σθαι πόρνης ἕνεκ' ἀνθρώπου, ἣν ἔξεστιν αὐτῷ ἀναμφισβητήτως ἔχειν, ἐμοὶ ἀποδόντι τἀργύριον. καὶ φησὶ μὲν δεινῶς ἐπιβουλευθῆναι, καὶ πρὸς ἅπανθ' ἡμῖν ἀμφισβητεῖ· ἐξὸν δὲ ἐκ τῆς ἀνθρώπου βασανισθείσης τὸν ἔλεγχον ποιήσασθαι, οὐκ ἠθέλησεν. ἦ πρῶτον μὲν τοῦτ' ἂν κατεῖπε, πότερα κοινὴ ἡμῖν ἦν, ἢ ἰδία τούτου· καὶ πότερα τὸ ἥμισυ τοῦ ἀργυρίου ἐγὼ συνεβαλόμην, ἢ οὗτος ἅπαν ἔδωκε, καὶ εἰ διηλλαγμένοι ἢ ἔτι ἐχθροὶ ἦμεν, ἔτι δὲ, εἰ μεταπεμφθέντες ἦλθομεν, ἢ οὐδενὸς καλέσαντος· καὶ εἰ οὗτος ἦρχε χειρῶν ἀδίκων, ἢ ἐγὼ πρότερος τοῦτον ἐπάταξα. τούτων καθ' ἓν ἕκαστον καὶ τῶν ἄλλων οὐδὲν ἦν ὅ, τι οὐ ῥᾴδιον αὐτῇ τοῖς τε ἄλλοις ἐμφανὲς καὶ τούτοις ποιῆσαι. Ὅτι μὲν οὖν οὔτε πρόνοια ἐγένετο, οὔτε ἀδικῶ τοῦτον, ὦ βουλὴ, ἐκ τοσούτων τεκμηρίων καὶ μαρτυριῶν ὑμῖν ἐπιδέδεικται. ἀξιῶ δ', ὅσον ἂν ἐγένετο σημεῖον τούτῳ πρὸς τὸ δοκεῖν ἀληθῆ λέγειν, φυγόντος ἐμοῦ τὴν βάσανον, τοσοῦτον ἐμοὶ τεκμήριον γενέσθαι, ὅτι οὐ ψεύδομαι, διότι οὗτος οὐκ ἠθέλησεν ἐκ τῆς ἀνθρώπου ποιήσασθαι τὸν ἔλεγχον· καὶ μὴ τοσοῦτον ἰσχύσαι τοὺς τούτου λόγους, ὅτι φησὶν αὐτὴν ἐλευθέραν εἶναι· ὁμοίως γὰρ προσήκει κἀμοὶ τῆς ἐλευθερίας, τὸ ἴσον καταθέντι ἀργύριον. ἀλλὰ ψεύδεται, καὶ οὐκ ἀληθῆ λέγει. ἦ δεινόν γε, εἰ εἰς μὲν λύσιν τοῦ σώματος ἔδωκα τὸ ἀργύριον ἐκ τῶν πολεμίων, ἐξῆν ἄν μοι χρῆσθαι αὐτῇ ὅ, τι ἐβουλόμην· κινδυνεύοντι δέ μοι περὶ τῆς πατρίδος, οὐδὲ πυθέσθαι παρ' αὐτῆς τἀληθῆ ἐκγενήσεται περὶ ὧν εἰς τὴν κρίσιν καθέστηκα

καὶ μὲν δὴ πολὺ ἂν δικαιότερον ἐπὶ ταύτῃ τῇ αἰτίᾳ βασανισθείη, ἢ ἐπὶ τῇ ἐκ τῶν πολεμίων λύσει πραθείη, ὅσῳ παρὰ μὲν ἐκείνων βουλομένων ἀπολῦσαι, ἔστι καὶ ἄλλοθεν εὐπορήσαντι κομισθῆναι. ἐπὶ δὲ τοῖς ἐχθροῖς γενόμενον, οὐ δυνατόν. οὐ γὰρ ἀργύριον λαβεῖν προθυμοῦνται, ἀλλ' ἐκ τῆς πατρίδος ἐκβαλεῖν αὐτὸν ποιοῦνται. ὥσθ' ὑμῖν προσήκει μὴ ἀποδέχεσθαι αὐτοῦ, διὰ τοῦτο οὐκ ἀξιοῦντος βασανισθῆναι τὴν ἄνθρωπον, ὅτι αὐτὴν ἐλευθέραν ἐσκήπτετο εἶναι· ἀλλὰ πολὺ μᾶλλον συκοφαντίαν καταγινώσκειν, ὅτι παραλιπὼν ἔλεγχον οὕτως ἀκριβῆ, ἐξαπατήσειν ὑμᾶς ῥᾳδίως ᾠήθη. οὐ γὰρ δή που τήν γε τούτου πρόκλησιν πιστοτέραν ὑμᾶς νομίζειν δεῖ τῆς ἡμετέρας, ἐφ' οἷς τοὺς αὑτοῦ οἰκέτας ἠξίου βασανίζεσθαι. ἃ μὲν γὰρ ἐκεῖνοι ᾔδεσαν, ἐλθόντας ἡμᾶς ὡς τοῦτον, καὶ ἡμεῖς ὁμολογοῦμεν· εἰ δὲ μεταπεμφθέντες ἢ μή, καὶ πότερον πρότερος ἐκλήγην ἢ ἐπάταξα, ἐκείνη μᾶλλον ἂν ᾔδει. ἔτι δὲ τοὺς μὲν τούτου οἰκέτας, ἰδίους ὄντας τούτου, εἰ ἐβασανίζομεν, ἀνοήτως ἄν τι τούτῳ χαριζόμενοι καὶ παρὰ τὴν ἀλήθειαν ἐμοῦ κατεψεύσαντο. αὕτη δὲ ὑπῆρχε κοινὴ, ὁμοίως ἀμφοτέρων ἀργύριον καταθεικότων· καὶ μάλιστα ᾔδει, ὅτι διὰ ταύτην ἅπαντα τὰ πραχθέντα ἡμῖν γεγένηται, καὶ οὐ λήσει οὐδὲν ἐν ταὐτῃ. ἐγὼ τ' ἄνισον εἶχον βασανισθείσης, ἀλλ' ἀπεκινδύνευον τοῦτο. πολὺ γὰρ περὶ πλείονος τοῦτον ἢ ἐμὲ φαίνεται ποιησαμένη, καὶ μετὰ μὲν τούτου ἐμὲ ἠδικηκυῖα, μετ' ἐμοῦ δ' οὐδεπώποτε εἰς τοῦτον ἐξαμαρτοῦσα. ἀλλ' ὅμως ἐγὼ μὲν εἰς ταὐτην

κατέφυγον, οὗτος δὲ οὐκ ἐπίστευσεν αὐτῇ. οὔκουν δεῖ ὑμᾶς, ὦ βουλή, τηλικούτου ὄντος τοῦ κινδύνου, ῥᾳδίως ἀποδέχεσθαι τοὺς τούτου λόγους, ἀλλ' ἐν θυμουμένους, ὅτι περὶ τῆς πατρίδος μοι καὶ τοῦ βίου ὁ ἀγὼν ἐστιν, ἐν ὑπολόγῳ ταύτας τὰς προκλήσεις ποιεῖσθαι. καὶ μὴ ζητεῖτε τούτων ἔτι μείζους πίστεις· (οὐ γὰρ ἂν ἔχοιμι εἰπεῖν, ἀλλ' ἢ ταύτας,) ὡς οὐδὲν εἰς τοῦτον προνοηθῆναι. ἀγανακτῶ δ', ὦ βουλή, εἰ διὰ πόρνην καὶ βούλην ἄνθρωπον περὶ τῶν μεγίστων εἰς κίνδυνον καθέστηκα· τί κακὸν πώποτε τὴν πόλιν ἢ αὐτὸν τοῦτον εἰργασμένος; ἢ εἰς τίνα τῶν πολιτῶν ὁτιοῦν ἐξαμαρτών; οὐδὲν γὰρ ἔμοιγέ ἐστι τοιοῦτον πεπραγμένον· ἀλλὰ λόγῳ, τὸ τῶν πάντων, κινδυνεύω πολὺ μείζω συμφορὰν ἐμαυτῷ διὰ τούτους ἐπαγαγέσθαι. πρὸς οὖν παίδων καὶ γυναικῶν, καὶ θεῶν τῶν τόδε τὸ χωρίον ἐχόντων, ἱκετεύω ὑμᾶς καὶ ἀντιβολῶ, ἐλεήσατέ με, καὶ μὴ περιΐδητε ἐπὶ τούτῳ γενόμενον, μηδὲ ἀνηκέστῳ συμφορᾷ περιβάλητε. οὐ γὰρ ἄξιος οὔτ' ἐγὼ φεύγει τὴν ἐμαυτοῦ, οὔτε οὗτος τοσαύτην δίκην παρ' ἐμοῦ λαβεῖν, ὑπὲρ ὧν φησὶν ἠδικῆσθαι, οὐκ ἠδικημένη

ΛΥΣΙΟΥ

ΥΠΕΡ ΚΑΛΛΙΟΥ ΙΕΡΟΣΥΛΙΑΣ ΑΠΟΛΟΓΙΑ

Εἰ μὲν περὶ ἄλλου τινὸς, ἢ τοῦ σώματος, ὦ ἄνδρες δικασταὶ, Καλλίας ἠγωνίζετο, ἐξῆρκει ἄν μοι καὶ τὰ παρὰ τῶν ἄλλων εἰρημένα. νῦν δέ μοι δοκεῖ αἰσχρὸν εἶναι, κελεύοντος καὶ δεομένου, καὶ φίλου ὄντος καὶ ἐμοὶ, καὶ (ἕως ἔζη) τῷ πατρὶ, καὶ πολλῶν συμβολαίων ἡμῖν πρὸς ἀλλήλους γεγενημένων, μὴ βοηθῆσαι Καλλίᾳ τὰ δίκαια, ὅπως ἂν δύνωμαι. ἐνόμιζον μὲν οὖν οὕτω μετοικεῖν αὐτὸν ἐν ταύτῃ τῇ πόλει, ὥστε πολὺ πρότερον ἀγαθοῦ τινος τεύξεσθαι παρ' ὑμῶν, ἢ ἐπὶ τοιαύταις αἰτίαις εἰς τοσοῦτον κίνδυνον καταστήσεσθαι· νῦν δὲ οἱ ἐπιβουλεύοντες οὐχ ἧττον ἐπικίνδυνον ποιοῦσι τὸν βίον τοῖς μηδὲν ἀδικοῦσιν, ἢ τοῖς πολλῶν κακῶν αἰτίοις οὖσιν. ὑμᾶς δὲ ἄξιον μὴ τοὺς μὲν τῶν θεραπόντων λόγους πιστοὺς νομίζειν, τοὺς δὲ τούτων ἀπίστους· ἐνθυμουμένους, ὅτι Καλλίᾳ μὲν οὐδεὶς πώποτε οὔτ' ἰδιώτης ἐπεκάλεσεν, οὔτε ἄρχων· οἰκῶν δ' ἐν ταύτῃ τῇ πόλει, πολλὰ μὲν ἀγαθὰ ὑμᾶς ἐποίησεν, οὐδεμίαν δὲ σχὼν αἰτίαν εἰς τοῦτο τῆς ἡλικίας ἀφῖκται οὗτοι δὲ ἐν ἅπαντι τῷ βίῳ μεγάλα ἡμαρτηκότες, καὶ πολλῶν κακῶν πεπειραμένοι, ὥσπερ ἀγαθοῦ τινος αἴτιοι γε-

γενημένοι, περὶ ἐλευθερίας νυνὶ ποιοῦνται τοὺς λόγους. καὶ οὐ θαυμάζω. ἴσασι γὰρ, ὅτι, ἂν ψευδόμενοι ἐλεγχθῶσιν, οὐδὲν μεῖζον τῶν ὑπαρχόντων πείσονται· ἐὰν δὲ ὑμᾶς ἐξαπατήσωσι, τῶν παρόντων κακῶν ἔσονται ἀπηλλαγμένοι. καίτοι τοὺς τοιούτους οὔτε κατηγόρους, οὔτε μάρτυρας πιστοὺς χρὴ νομίζειν εἶναι, οἵτινες αὐτοὶ μεγάλα κερδαίνοντες περὶ ἑτέρων ποιοῦνται τοὺς λόγους· ἀλλὰ πολὺ μᾶλλον ὅσοι τῷ δημοσίῳ βοηθοῦντες, εἰς κινδύνους σφᾶς αὐτοὺς καθιστᾶσιν. ἄξιον δέ μοι δοκεῖ εἶναι, οὐ τούτων ἴδιον ἡγεῖσθαι τὸν ἀγῶνα, ἀλλὰ κοινὸν ἁπάντων τῶν ἐν τῇ πόλει. οὐ γὰρ τούτοις μόνοις εἰσὶ θεράποντες, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασιν, οἳ πρὸς τὴν τούτων τύχην ἀποβλέποντες, οὐκέτι σκέψονται, ὅ, τι ἀγαθὸν εἰργασμένοι τοὺς δεσπότας ἐλεύθεροι γένοιντο, ἀλλ' ὅ, τι ψεῦδος περὶ αὐτῶν μηνύσαντες.

ΛΥΣΙΟΥ

ΚΑΤ' ΑΝΔΟΚΙΔΟΥ ΑΣΕΒΕΙΑΣ.

Ἔδησε τὸν ἵππον ἐκ τοῦ ῥόπτρου τοῦ ἱερο ἀποδιδούς· τῇ δὲ ἐπιούσῃ νυκτὶ ὤφείλετο. οὗν ὁ ταῦτα ποιήσας, θανάτῳ τῷ ἀλγίστῳ ἀπ λωλῷ· πολλῶν γὰρ καὶ ἀγαθῶν αὐτῷ ἐπὶ τ

εξαν παρατιθεμένων, ὄζειν ἐδόκει τοῦ ἄρτου καὶ
ῆς μάζης κάκιστον, καὶ οὐκ ἠδύνατο ἐσθίειν. καὶ
αῦτα πολλοὶ ἡμῶν ἤκουον τοῦ ἱεροφάντου λέγον-
ος. ὅτι Ἀνδοκίδης μηνύων τοὺς αὐτοῦ συγγενεῖς,
αὶ φίλους ἀπολλύων, φάσκων αὐτοὺς συνεργοὺς εἶ-
αι. δίκαιον οὖν μοι δοκεῖ εἶναι νῦν ἐπὶ τούτῳ τὰ
ότε λεχθέντα ἀναμνῆσαι, καὶ μὴ μόνον τοὺς τού-
ου φίλους ὑπὸ τούτου καὶ τῶν τούτου λόγων ἀπόλ-
υσθαι, ἀλλὰ καὶ αὐτὸν τοῦτον ὑφ' ἑτέρου. ἀδύ-
κτον δὲ καὶ ὑμῖν ἐστι, περὶ τοιούτου πράγματος
ίρουσι τὴν ψῆφον, ἢ κατελεῆσαι, ἢ καταχαρίσα-
θαι Ἀνδοκίδῃ· ἐπισταμένοις, ὅτι ἐναργῶς τὸ θεῖ
ούτω τιμωρεῖτε τοὺς ἀδικοῦντας. ἐλπίσαι οὖν χρὴ
άντα ἄνθρωπον ὄντα καὶ ἑαυτῷ καὶ ἑτέρῳ ἔσεσθαι
έρα γάρ, ἂν νυνὶ Ἀνδοκίδης ἀθῶος ἀπαλλαγῇ ἡμῶν
τοῦδε τοῦ ἀγῶνος, καὶ ἔλθῃ κληρωσόμενος τῶν
νέα ἀρχόντων, καὶ λάχῃ βασιλεὺς, ἄλλο τι ἢ ὑπὲρ
ιῶν καὶ θυσιάσει, καὶ εὐχὰς εὔξεται κατὰ τὰ πά-
ια, τὰ μὲν ἐν τῷ ἐνθάδε Ἐλευσινίῳ, τὰ δὲ ἐν τῷ
Ἐλευσῖνι ἱερῷ, καὶ τῆς ἑορτῆς ἐπιμελήσεται μυστη-
ίοις, ὅπως ἂν μηδεὶς ἀδικῇ, μηδὲ ἀσεβῇ περὶ τὰ
ρά; καὶ τίνα γνώμην οἴεσθε ἕξειν τοὺς μύστας τοὺς
ρικομένους, ἐπειδὰν ἴδωσι τὸν βασιλέα, ὅστις ἐστὶ,
ὶ ἀναμνησθῶσι πάντα τὰ ἠσεβημένα αὐτῷ; ἢ τοὺς
λους Ἕλληνας, οἳ ἕνεκα ταύτης τῆς ἑορτῆς, ἢ
ύειν εἰς ταύτην τὴν πανήγυριν βουλόμενοι, ἢ θεω-
ῖν· οὐδὲ γὰρ ἀγνὼς ὁ Ἀνδοκίδης οὔτε τοῖς ἔξω,
ότε τοῖς ἐνθάδε, διὰ τὰ ἠσεβημένα. ἀναγκαίως
ὶρ ἔχει ἀπὸ τῶν πολὺ διαφερόντων ἢ κακῶν ἢ ἀγα-

Θῶν ἔργων τοὺς ποιήσαντας γιγνώσκεσθαι. ἔπειτα δὲ καὶ διώχληκε πόλεις πολλὰς ἐν τῇ ἀποδημίᾳ, Σικελίαν, Ἰταλίαν, Πελοπόννησον, Θετταλίαν, Ἑλλήσποντον, Ἰωνίαν, Κύπρον· βασιλέας πολλοὺς κεκολάκευκεν, ᾧ ἂν συγγένηται, πλὴν τοῦ Συρακουσίου Διονυσίου. οὗτος δὲ ἡ πάντων εὐτυχέστατός ἐστιν, ἢ πλεῖστον γνώμῃ διαφέρει τῶν ἄλλων, ὃς μόνος τῶν συγγενομένων Ἀνδοκίδῃ οὐκ ἐξηπατήθη ὑπ' ἀνδρὸς τοιούτου, ὃς τέχνην ταύτην ἔχει, τοὺς μὲν ἐχθροὺς μηδὲν ποιεῖν κακόν, τοὺς δὲ φίλους, ὅ, τι ἂν δύνηται κακόν. ὥστε μὰ τὸν Δία οὐ ῥᾴδιόν ἐστιν ὑμῖν αὐτῷ οὐδὲν χαριζομένους παρὰ τὸ δίκαιον λαθεῖν τοὺς Ἕλληνας. νῦν οὖν ὑμῖν ἐν ἀνάγκῃ ἐστὶ βουλεύσασθαι περὶ αὐτοῦ. εὖ γὰρ ἐπίστασθε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι οὐχ οἷόν τε ὑμῖν ἐστιν ἅμα τοῖς τε νόμοις τοῖς πατρίοις καὶ Ἀνδοκίδῃ χρῆσθαι· ἀλλὰ θυοῖν θάτερον, ἢ τοὺς νόμους ἐξαλειπτέον ἐστὶν, ἢ ἀπαλλακτέον τοῦ ἀνδρός. εἰς τοσοῦτο δὲ τόλμης ἀφῖκται, ὥστε καὶ λέγει περὶ τοῦ νόμου, ὡς καθῄρηται ὁ περὶ αὐτοῦ κείμενος, καὶ ἔξεστιν αὐτῷ ἤδη εἰσιέναι εἰς τὴν ἀγορὰν καὶ εἰς τὰ ἱερὰ ἃπερ καὶ νῦν Ἀθηναίων ἐν τῷ βουλευτηρίῳ. καίτοι Περικλέα ποτέ φασι παραινέσαι ὑμῖν περὶ τῶν ἀσεβούντων, μὴ μόνον χρῆσθαι τοῖς γεγραμμένοις νόμοις περὶ αὐτῶν, ἀλλὰ καὶ τοῖς ἀγράφοις, καθ' οὓς Εὐμολπίδαι ἐξηγοῦνται· οὓς οὐδεὶς πω κύριος ἐγένετο καθελεῖν, οὐδὲ ἐτόλμησεν ἀντειπεῖν, οὐδὲ αὐτὸν τὸν θέντα ἴσασιν. ἡγεῖσθαι γὰρ ἂν αὐτοὺς οὕτως οὐ μόνον τοῖς ἀνθρώποις, ἀλλὰ καὶ τοῖς θεοῖς

διδόναι δίκην. Ἀνδοκίδης δὲ τοσοῦτον καταπεφρόνηκε τῶν θεῶν, καὶ ὧν ἐκείνοις δεῖ τιμωρεῖν, ὥστε πρὶν μᾶλλον ἢ ἧττον ἢ ἐπιδεδημηκέναι δέκα ἡμέρας ἐν τῇ πόλει, προσεκαλέσατο δίκην ἀσεβείας πρὸς τὸν βασιλέα, καὶ ἔλαχεν Ἀνδοκίδης, καὶ πεποιηκὼς ἃ οὗτος πεποίηκε περὶ τοὺς θεούς. καὶ (ἵνα μᾶλλον πρόσχητε τὸν νοῦν,) φάσκων τὸν Ἀριστιππον ἀσεβεῖν περὶ τὸν Ἑρμῆν τὸν αὐτοῦ πατρῷον. ὁ δὲ Ἀρχιππος ἠντιδίκει, ἢ μὴν τὸν Ἑρμῆν ὑγιᾶ τε καὶ ὅλον εἶναι, καὶ μηδὲν παθεῖν ὥνπερ οἱ ἄλλοι Ἑρμαῖ· ὅμως μέντοι ἵνα μὴ ὑπὸ τούτου τοιούτου ὄντος πρᾶγμα ἔχῃ, δοὺς ἀργύριον ἀπηλλάγη. καίτοι ὁπότε οὗτος παρ' ἑτέρου ἠξίωσε δίκην ἀσεβείας λαβεῖν, ἧπου ἑτέρους γε παρὰ τούτου λαβεῖν δίκαιον καὶ εὐσεβές ἐστιν. ἀλλὰ λέξει δεινὸν εἶναι, εἰ ὁ μὲν μηνυτὴς τὰ ἔσχατα πείσεται, οἱ δὲ μηνυθέντες τῶν αὐτῶν ὑμῖν ἐπίτιμοι ὄντες μεθέξουσι. καίτοι οὐχ ὑπὲρ αὐτοῦ ἀπολογήσεται, ἀλλὰ καὶ τῶν ἄλλων κατηγορήσει. τοὺς μὲν οὖν ἄλλους οἱ ἐπιτάξαντες καταδέξασθαι, ἀδικοῦσι, καὶ τοῦ αὐτοῦ ἀσεβήματος αἴτιοι εἰσίν· εἰ δ' ὑμεῖς αὐτοκράτορες ἦτε, καὶ ἐστὲ οἱ ἀφελύντες τὰς τιμωρίας τῶν θεῶν, ἀλλ' οὗτοι αἴτιοι ἔσονται. ὑμεῖς οὖν μὴ βούλεσθε εἰς ὑμᾶς τὴν αἰτίαν ταύτην περιτρέψαι, ἐξὸν τὸν ἀδικοῦντα κολάσασιν ἀπηλλάχθαι. ἔπειτα δ' ἐκεῖνοι μὲν ἀρνοῦνται τὰ μεμηνυμένα, οὗτος δὲ ὁμολογεῖ ποιῆσαι. καίτοι καὶ ἐν Ἀρείῳ πάγῳ, ἐν τῷ σεμνοτάτῳ καὶ δικαιοτάτῳ δικαστηρίῳ, ὁμολογῶν μὲν ἀδικεῖν, ἀποθνήσκει· εἷς δὲ ἀμφισβητῇ, ἐλέγχεται, καὶ πολ-

λοὺς οὐδὲ δόξαν ἀδικεῖν. οὔκουν ὁμοίαν χρὴ γν
μην ἔχειν περί τε τῶν ἀρνουμένων καὶ περὶ τῶν ὁμ
λογουμένων. δεινὸν δέ μοι δοκεῖ εἶναι, ἂν μέν τ
ἀνδρὸς σῶμα τρώσῃ, κεφαλὴν ἢ πρόσωπον, ἢ χεῖρ
ἢ πόδας, αὐτὸς μὲν κατὰ τοὺς νόμους ἐξ Ἀρείου π
γου φεύξεται τὴν τοῦ ἀδικηθέντος πόλιν, ἢ τρα
ματος ἐκ προνοίας· καὶ ἐὰν μὲν κατίῃ, ἐνδειχθ
θανάτῳ ζημιωθήσεται· ἐὰν δέ τις τὰ αὐτὰ ταῦ
ἀδικήσῃ τὰ ἀγάλματα τῶν θεῶν, οὐδ' αὐτῶν κ
λύσετε τῶν ἱερῶν ἐπιβαίνειν, ἢ εἰσιόντα οὐ τιμως
σεσθε. καὶ μὲν δὴ τούτων καὶ δίκαιον καὶ ἀγαθ
ἐστιν ἐπιμελεῖσθαι, ὑφ' ὧν καὶ εὖ καὶ κακῶς δυν
σεσθε πάσχειν. φασὶ δὲ καὶ τῶν Ἑλλήνων πολλο
διὰ τὰ ἐνθάδε ἀσεβήματα ἐκ τῶν παρ' αὐτοῖς ἱερ
ἐξείργειν. ὑμεῖς δὲ αὐτοὶ οἱ ἀδικηθέντες, περὶ ἑλό
τονος ποιεῖσθε τὰ παρ' ὑμῖν νόμιμα, ἢ ἕτεροι
ὑμέτερα. τοσούτῳ δ' οὗτος Διαγόρου τοῦ Μηλί
ἀσεβέστερος γεγένηται. ἐκεῖνος μὲν γὰρ λόγῳ πι
τὰ ἀλλότρια ἱερὰ καὶ ἑορτὰς ἠσέβει, οὗτος δὲ ἔρ
περὶ τὰ ἐν τῇ αὐτοῦ πόλει. ὀργίζεσθαι οὖν χρή,
ἄνδρες Ἀθηναῖοι, τοῖς ἄστοῖς ἀδικοῦσι μᾶλλον,
τοῖς ξένοις περὶ ταῦτα τὰ ἱερά. τὸ μὲν γὰρ ὥσπ
ἀλλότριόν ἐστιν ἁμάρτημα, τὸ δ' οἰκεῖον· καὶ
οὓς μὲν ἔχετε ἀδικοῦντας ἀφίετε, τοὺς δὲ φεύγοντ
ζητεῖτε συλλαμβάνειν· ἐπικηρύττοντες τάλαντον ἀ
γυρίου δώσειν τῷ ἀπάγοντι ἢ ἀποκτείναντι. εἰ
μὴ, δόξετε τοῖς Ἕλλησι κομπάζειν μᾶλλον, ἢ τιμ
ρεῖσθαι βούλεσθαι. ἐπεδείξατο δὲ καὶ τοῖς Ἕλλ
σιν, ὅτι θεοὺς οὐ νομίζει. οὐ γὰρ ὡς δεδιὼς τὰ π

πεπημένα, ἀλλ' ὡς θαῤῥῶν, ναυκληρίᾳ ἐπιθέμενος, τὴν θάλατταν ἔπλει. ὁ δὲ θεὸς ὑπῆγεν αὐτὸν, ἵνα ἀφικόμενος εἰς τὰ ἁμαρτήματα, ἐπὶ τῇ ἐμῇ προφάσει, δῴη δίκην. ἐλπίζω μὲν οὖν αὐτὸν καὶ δώσειν δίκην. θαυμάσιον δὲ οὐδὲν, ἂν μὴ γένοιτο. οὔτε γὰρ ὁ θεὸς παραχρῆμα κολάζει· ἀλλ' αὕτη μέν ἐστιν ἀνθρωπίνη δίκη. πολλαχόθεν δὲ ἔχω τεκμαιρόμενος εἰκάζειν, ὁρῶν καὶ ἑτέρους ἠσεβηκότας, χρόνῳ δεδωκότας δίκην, καὶ τοὺς ἐξ ἐκείνων, διὰ τὰ τῶν προγόνων ἁμαρτήματα. ἐν δὲ τούτῳ τῷ χρόνῳ δέη πολλὰ καὶ κινδύνους ὁ θεὸς ἐπιπέμπει τοῖς ἀδικοῦσιν· ὥστε πολλοὺς ἤδη ἐπιθυμῆσαι τελευτήσαντας τῶν κακῶν ἀπηλλάχθαι. ὁ δὲ θεὸς τέλος τούτων λυμηνάμενος τῷ βίῳ θάνατον ἐπέθηκε. σκέψασθε δὲ καὶ αὐτοῦ Ἀνδοκίδου τὸν βίον, ἀφ' οὗ ἠσέβηκε, καὶ εἴ τις τοιοῦτος ἕτερός ἐστιν. Ἀνδοκίδης γὰρ ἐπειδὴ ἥμαρτεν, ἐξ ἐπιβολῆς εἰσαχθεὶς εἰς τὸ δικαστήριον, ἔδησεν ἑαυτὸν τιμησάμενος δεσμοῦ, εἰ μὴ παραδοίη τὸν ἀκόλουθον· εὖ δ' ᾔδει οὐ δυνησόμενος παραδοῦναι, ὃς διὰ τοῦτον καὶ τὰ τούτου ἁμαρτήματα ἀπέθανεν, ἵνα μὴ μηνυτὴς γένοιτο. καίτοι πῶς οὐ θεῶν τις τὴν τούτου γνώμην διέφθειρεν, ὃς ῥᾷον ἡγήσατο δεσμοῦ τιμήσασθαι, ἢ ἀργυρίου ἐπ' ἐλπίδι τῇ αὐτῇ; ἐκ δ' οὖν τούτου τοῦ τιμήματος ἐδέδετο ἐγγὺς ἐνιαυτὸν, καὶ ἐμήνυσε δεδεμένος κατὰ τῶν αὐτοῦ συγγενῶν καὶ φίλων, ἀδείας δοθείσης αὐτῷ, εἰ δόξειε τἀληθῆ μηνύσαι. καὶ τίνα αὐτὸν δοκεῖτε ψυχὴν ἔχειν, ὁπότε τὰ μὲν ἔσχατα [καὶ τὰ αἴσχιστα] ἐποίει μηνύων κατὰ τῶν ἑαυτοῦ

φίλων, ἡ δὲ σωτηρία ἀφανὴς αὐτῷ; μετὰ δὲ ταῦτα
ἐπειδὴ ἀπεκτονὼς ἦν, οὓς αὐτὸς ἔφη περὶ πλείστου
ποιεῖσθαι, ἔδοξε τἀληθῆ μηνύσαι, καὶ ἐλύθη. κα
προσεψηφίσασθε ὑμεῖς αὐτὸν εἴργεσθαι τῆς ἀγορᾶς
καὶ τῶν ἱερῶν, ὥστε μὴ ἀδικουμένῳ ὑπὸ τῶν ἐχθρῶν
δύνασθαι δίκην λαβεῖν. οὐδεὶς γάρ που, ἐξ ὅσου
Ἀθηναῖοι ἀείμνηστοι εἰσὶν, ἐπὶ τοιαύτῃ αἰτίᾳ ἠτι
μώθη. δικαίως. οὐδὲ γὰρ ἔργα τοιαῦτα οὐδείς πο
εἰργάσατο. καὶ τούτων πότερα τοὺς θεοὺς χρὴ,
τὸ αὐτόματον αἰτιᾶσθαι; μετὰ δὲ ταῦτα ἔπλευσε
ὡς τὸν Κιτιέων βασιλέα, καὶ προδιδοὺς ληφθεὶς ὑπ
αὐτοῦ ἐδέθη. καὶ οὐ μόνον τὸν θάνατον ἐφοβεῖτο
ἀλλὰ καὶ τὰ καθ' ἡμέραν αἰκίσματα, οἰόμενος τ
ἀκρωτήρια ζῶντος ἀποτμηθήσεσθαι. ἀποδρὰς δὲ ἐ
τούτου τοῦ κινδύνου, κατέπλευσεν εἰς τὴν ἑαυτ
πόλιν, ἐπὶ τῶν τετρακοσίων, θεὸς λήθην ἔδωκε
ὥστε εἰς τοὺς ἠδικημένους αὐτοὺς ἐπεθύμησεν ἀς
κέσθαι. ἀφικόμενος δὲ, ἐδέθη καὶ ἠκίσθη. ἀπ
λετο δὲ οὐχὶ, ἀλλ' ἐλύθη. ἔνθεν δὲ ἔπλευσεν ὡς
ἀγόραν τὸν Κύπρου βασιλεύοντα, καὶ ἀδικη
εἴρχθη. ἀποδράσας τοῦτον, ἔφευγε μὲν τοὺς ἐνθ
θεοὺς, ἔφευγε δὲ τὴν ἑαυτοῦ πόλιν, ἔφευγε δ
οὓς τὸ πρῶτον ἀφίκοιτο τόπους. καίτοι τίς
τῷ βίῳ, κακοπαθεῖν μὲν πολλάκις, ἀναπαύσα
δὲ μηδέποτε; καταπλεύσας δὲ ἐκεῖθεν δεῦρο εἰ
μοκρατίαν εἰς τὴν αὐτοῦ πόλιν τοῖς μὲν πρυτ
σιν ἔδωκε χρήματα, ἵνα αὐτὸν προσαγάγοιεν
δε. ὑμεῖς δ' αὐτὸν ἐξηλάσατε ἐκ τῆς πόλεως
θεοῖς βεβαιοῦντες τοὺς νόμους, οὓς ἐψηφί

καὶ τὸν ἄνδρα οὐ δῆμος, οὐκ ὀλιγωρχία, οὐ τύραννος, οὐ πόλις ἐθέλει δέξασθαι διὰ τέλους· ἀλλα πάντα τὸν χρόνον, ἐξ οὗτου ἠσέβησεν, ἀλώμενος διάγει, πιστεύων ἀεὶ μᾶλλον τοῖς ἀγνῶσι τῶν γνωρίμων, διὰ τὸ ἠδικηκέναι οὓς γινώσκει. τὸ δὲ τελευταῖον νῦν ἀφικόμενος εἰς τὴν πόλιν, ὃς ἐν τῷ αὐτῷ ἐνδέδεικται. καὶ τὸ μὲν σῶμα ἀεὶ ἐν δεσμοῖς ἔχει, ἡ δὲ οὐσία αὐτοῦ ἐλάττων ἐκ τῶν κινδύνων γίνεται. καὶ ὅταν τις τὸν αὑτοῦ βίον τοῖς ἐχθροῖς καὶ τοῖς συκοφάνταις διανέμει, τοῦτ' ἔστι τὸ [βιοῦν] τὸν βίον ἀβίωτον. ἃ τούτῳ ὁ θεὸς οὐκ ἐπὶ σωτηρίᾳ ἐπινοεῖν δίδωσιν, ἀλλὰ τιμωρούμενος τῶν γεγενημένων ἀσεβημάτων. τὸ δὲ τελευταῖον, νυνὶ παραδέδωκεν αὐτὸν ὑμῖν χρῆσθαι ὅ, τι ἂν βούλησθε· οὐ τῷ μὴ ἀδικεῖν πιστεύων, ἀλλ' ὑπὸ δαιμονίου τινὸς ἀγόμενος ἀνάγκης. οὔκουν χρὴ μὰ τὸν Δία, οὔτε πρεσβύτερον ὄντα, οὔτε νεώτερον, ὁρῶντας Ἀνδοκίδην ἐκ τῶν κινδύνων σωζόμενον, συνειδότας αὐτῷ ἔργα ἀνόσια εἰργασμένῳ, ἀθεωτέρους γίνεσθαι· ἐνθυμουμένους, ὅτι ἥμισυς ὁ βίος βιῶναι κρείττων ἁλύπως ἐστὶ διπλασίου λυπουμένῳ, ὥσπερ οὗτος· εἰς τοσοῦτον δὲ ἀναισχυντίας ἀφῖκται, ὥστε καὶ παρασκευάζεται τῇ πόλει, καὶ πράττει καὶ ἤδη δημηγορεῖ, καὶ ἐπιτιμᾷ, καὶ ἀποδοκιμάζει τῶν ἀρχόντων τισί· καὶ συμβουλεύει, εἰς τὴν βουλὴν εἰσιὼν, περὶ θυσιῶν καὶ προσόδων καὶ εὐχῶν καὶ μαντειῶν. καίτοι, τούτῳ πειθόμενοι, ποίοις θεοῖς ἡγήσεσθε κεχαρισμένα ποιεῖν; μὴ γὰρ οἴεσθε, ὦ ἄνδρες δικασταὶ, εἰ ὑμεῖς βούλεσθε τὰ τούτῳ πεποιημένα ἐπιλαθε-

σθαι, καὶ τοὺς θεοὺς ἐπιλήσεσθαι. ἀξιοῖ δὲ οὐχ, ὡς ἠδικηκὼς, ἡσυχίαν ἔχων πολιτεύεσθαι, ἀλλ' ὥσπερ αὐτὸς ἐξευρὼν τοὺς τὴν πόλιν ἀδικήσαντας. οὕτω διανοεῖται καὶ παρασκευάζεται, ὅπως ἑτέρων μεῖζον δυνήσεται· ὥσπερ οὐ διὰ πραότητα καὶ ἀσχολίαν τὴν ὑμετέραν οὐ δεδωκὼς ὑμῖν δίκην, εἰς οὓς νῦν ἁμαρτάνων οὐ λανθάνει· ἀλλ' ἅμα ἐξελεγχθήσεταί τε καὶ δώσει δίκην. ἰσχυριεῖται δὲ καὶ τούτῳ τῷ λόγῳ. ἀναγκαίως γὰρ ἔχω ὑμᾶς διδάσκειν, ἃ οὗτος ἀπολογήσεται, ἵν' ἀκούσαντες παρ' ἀμφοτέρων ἄμεινον διαγνῶτε. φησὶ γὰρ ἀγαθὰ μεγάλα ποιῆσαι τὴν πόλιν, μηνύσας καὶ ἀπαλλάξας δόους καὶ ταραχῆς τῆς τότε. τίς δὲ τῶν μεγάλων κακῶν αἴτιος ἐγένετο; οὐκ αὐτὸς οὗτος, ποιήσας ἃ ἐποίησεν; εἶτα τῶν μὲν ἀγαθῶν δεῖ τούτῳ χάριν εἰδέναι, ὅτι ἐμήνυσε, μισθὸν ὑμῶν αὐτῷ διδόντων τὴν ἄδειαν; τῆς δὲ ταραχῆς καὶ τῶν κακῶν ὑμεῖς αἴτιοι ἐστὲ, ὅτι ἐζητεῖτε τοὺς ἠσεβηκότας; οὐ δήπουθεν, ἀλλ' αὐτὸ τοῦτο τοὐναντίον. ἐτάραξε μὲν οὗτος τὴν πόλιν, κατεστήσατε δ' ὑμεῖς. πυνθάνομαι δ' αὐτὸν μέλλειν ἀπολογήσεσθαι, ὡς αἱ συνθῆκαι καὶ αὐτῷ εἰσὶ, καθάπερ καὶ τοῖς ἄλλοις Ἀθηναίοις. καὶ τοῦτο πρόσχημα ποιούμενος, οἴεται πολλοὺς ὑμῶν, δεδιότας, μὴ λύσητε τὰς συνθήκας, αὐτοῦ ἀποψηφιεῖσθαι. ὡς οὖν οὐδὲν προσήκει Ἀνδοκίδῃ τῶν συνθηκῶν, περὶ τούτου λέξω· οὔτε μὰ τὸν Δία τῶν πρὸς Λακεδαιμονίους, ἃς ὑμεῖς συνέθεσθε, οὔτε τῶν πρὸς τοὺς ἐν τῷ ἄστει οἱ ἐκ Πειραιῶς. οὐδενὶ γὰρ ὑμῶν τοσούτων ὄντων τὰ αὐτὰ ἁμαρτήματα,

οὐδ᾽ ὅμοια ἦν τοῖς Ἀνδοκίδου· ὥστε καὶ τοῦτον τῶν συνθηκῶν ἀπολαῦσαι. ἀλλ᾽ οὐ μὰ Δί᾽ ἕνεκά γε τούτου διαφερόμενοι, ἐπειδὴ καὶ τοῦτῳ μετέδομεν τῶν συνθηκῶν, τότε διηλλάγημεν. οὐ γὰρ ἕνεκεν ἑνὸς ἀνδρός, ἀλλ᾽ ἕνεκεν ἡμῶν τῶν ἐξ ἄστεος καὶ ἐκ Πειραιῶς, αἱ συνθῆκαι ἐγένοντο καὶ οἱ ὅρκοι. ἐπεί-τοι δεινὸν ἂν εἴη, εἰ περὶ Ἀνδοκίδου ἀποδημοῦντες, αὐτοὶ ἐνδεεῖς ὄντες ἐπεμελήθημεν, ὅπως ἐξαλειφθείη αὐτῷ τὰ ἁμαρτήματα. ἀλλὰ Λακεδαιμόνιοι γὰρ ἐν ταῖς πρὸς αὐτοὺς συνθήκαις ἐπεμελήθησαν Ἀνδο-κίδου, ὅτι ἔπαθον ἀγαθόν τι ὑπ᾽ αὐτοῦ; οὔ. ἀλλ᾽ ὑμεῖς ἐπεμελήθητέ γε αὐτοῦ; ἀντὶ ποίας εὐεργεσίας; ὅτι πολλάκις δι᾽ ὑμᾶς ὑπὲρ τῆς πόλεως ἐκινδύνευ-σεν; οὐκ ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, τούτῳ ἀληθὴς αὕτη ἡ ἀπολογία. μηδ᾽ ὑμεῖς ἐξαπατᾶσθε. οὐ γὰρ τοῦτο λύειν ἐστὶ τὰ συγκείμενα, εἰ Ἀνδοκίδης ἕνεκα τῶν ἰδίων ἁμαρτημάτων δίδωσι δίκην, ἀλλ᾽ ἐάν τις ἕνεκα τῶν δημοσίων συμφορῶν ἰδίᾳ τινὰ τιμωρῆται. ἴσως οἶν καὶ Κηφισσίου ἀντικατηγορήσει, καὶ ἕξει ἅ, τι λέγοι. τὰ γὰρ ἀληθῆ χρὴ λέγειν. ἀλλ᾽ ὑμεῖς οὐδ᾽ ἂν δύναισθε τῇ αὐτῇ ψήφῳ τόν τε ἀπολογού-μενον καὶ τὸν κατηγοροῦντα κολάσαι. ἀλλὰ νῦν μὲν περὶ τούτου καιρός ἐστι γνῶναι τὰ δίκαια· ἕτερος δὲ ἥξει Κηφισίῳ καὶ ἡμῶν ἑκάστῳ, ἂν οὗτος νῦν με-μνήσεται. μὴ οὖν καὶ δι᾽ ἑτέρων ὀργὴν τούτου ἀδι-κοῦντος νῦν ἀποψηφίσησθε. ἀλλὰ λέξει, ὅτι μηνυ-τὴς ἐγένετο· καὶ ἕτερος οὐδεὶς ὑμῖν ἐθελήσει μη-νύειν, ἐὰν κομίζηται. Ἀνδοκίδης δὲ ἔχει τὰ μήνυτρα παρ᾽ ὑμῶν, σώσας τὴν αὐτοῦ ψυχήν, ἑτέρων δὲ

ταῦτα ἀποθανόντων. τῆς μὲν οὖν σωτηρίας ὑμεῖ
τούτῳ αἴτιοι ἐστὲ, τῶν δὲ κακῶν τῶνδε καὶ τῶν κιν
δύνων αὐτὸς ἑαυτῷ, παραβὰς τὰ δόγματα, καὶ τὴ
ἄδειαν, ἐφ' ᾗ μηνυτὴς ἐγένετο. οὔκουν ἐξουσίαν χρ
ποιεῖν τοῖς μηνυταῖς ἀδικεῖν, (ἀρκεῖ γὰρ τὰ πεποιη
μένα) ἀλλὰ παραβαίνοντας κολάζειν. καὶ οἱ μὲν ἄλ
λοι μηνυταὶ, ὁπόσοι μετ' αἰσχρᾶς αἰτίας ἐξηλεγμέ
νοι, σφᾶς αὐτοὺς ἐμήνυσαν, ἓν γοῦν ἐπίστανται
μὴ ἐνοχλεῖν τοῖς ἠδικημένοις· ἡγούμενοι, ἀποδη
μοῦντες μὲν, ἀθῶοι καὶ ἐπίτιμοι δόξειν εἶναι, ἐπι
δημοῦντες δὲ παρὰ τοῖς πολίταις τοῖς ἠδικημένοις
πονηροὶ δόξειν καὶ ἀσεβεῖς εἶναι. ὁ γοῦν πάντω
πονηρότατος Βάτραχος, πλὴν τούτου, γενόμενο
ἐπὶ τῶν τριάκοντα μηνυτὴς, καὶ οὐσῶν αὐτῷ συν
θηκῶν καὶ ὅρκων, καθάπερ τοῖς Ἐλευσινόθεν, δε
σας ὑμῶν οὓς ἠδίκησεν, ἐν ἑτέρᾳ πόλει ᾤκει. Ἀνδο
κίδης δὲ καὶ αὐτοὺς τοὺς θεοὺς ἀδικήσας, περὶ ἑλάτ
τονος αὐτοὺς ἔθετο, εἰσιὼν εἰς τὰ ἱερὰ, ἢ Βάτρα
χος τοὺς ἀνθρώπους. ὅστις οὖν καὶ πονηρότερο
καὶ ἀμαθέστερος Βατράχου ἐστὶ, πάνυ δεῖ ἀγαπη
τῶς ὑφ' ὑμῶν αὐτὸν σωθέντα. φέρε δὴ, τί σκεψο
μένους χρὴ ὑμᾶς Ἀνδοκίδου ἀποψηφίσασθαι; πότε
ρον ὡς στρατιώτης ἀγαθός; ἀλλ' οὐδεπώποτ' ἐκ τῆ
πόλεως ἐστρατεύσατο, οὔτε ἱππεὺς, οὔτε ὁπλίτης
οὔτε τριήραρχος, οὔτ' ἐπιβάτης· οὔτε πρὸ τῆς συμ
φορᾶς, οὔτε μετὰ τὴν συμφορὰν, πλέον ἢ τετταρα
κοντα ἔτη γεγονώς. καὶ ἕτεροι φεύγοντες ἐν Ἑλλη
πόντῳ συνετριηράρχουν ὑμῖν. ἀναμνήσθητε δὲ κ
αὐτοὶ, ἐξ ὅσων κακῶν καὶ πολέμου ὑμᾶς αὐτοὺς π

ρισποιήσατε, καὶ τὴν πόλιν, πολλὰ μὲν τοῖς σώμασιν πονήσαντες, πολλὰ δὲ καὶ ἀναλώσαντες χρήματα καὶ ἰδίᾳ καὶ δημοσίᾳ, πολλοὺς δὲ καὶ ἀγαθοὺς τῶν πολιτῶν καταθάψαντες, διὰ τὸν γενόμενον πόλεμον. Ἀνδοκίδης δὲ, ἀπαθὴς τούτων τῶν κακῶν γενόμενος εἰς τὴν σωτηρίαν τῇ πατρίδι, ἄξιοῖ νυνὶ μετέχειν τῆς πόλεως, ἀσεβῶν ἐν αὐτῇ. ἀλλὰ πλουτῶν γὰρ, καὶ δυνάμενος τοῖς χρήμασι, καὶ βασιλεῦσιν ἐξενωμένος καὶ τυράννοις; ἃ νυνὶ κομπάσει, ἐπιστάμενος τοὺς ὑμετέρους τρόπους, ποίαν εἰσφορὰν τούτῳ ἀγαθὸν γένοιτο, καὶ ἐπιστάμενος ἐν πολλῷ σάλῳ καὶ κινδύνῳ τὴν πόλιν γενομένην, ναυκληρῶν οὐκ ἐτόλμησεν ἐπαρθεὶς σῖτον εἰσάγων ὠφελῆσαι τὴν πατρίδα. ἀλλὰ μέτοικοι μὲν καὶ ξένοι, ἕνεκα τῆς μετοικίας, ὠφέλουν τὴν πόλιν εἰσάγοντες· σὺ δὲ τί καὶ ἀγαθὸν ποιήσας, ὦ Ἀνδοκίδη, ποῖα ἁμαρτήματα ἀνακαλεσάμενος; ποῖα τροφεῖα ἀνταποδοὺς; Ἀθηναῖοι μνήσθητε τὰ πεποιημένα Ἀνδοκίδῃ· ἐνθυμήθητε δὲ καὶ τῆς ἑορτῆς, δι' ἣν ὑπὸ τῶν πολλῶν προὐτιμήθητε. ἀλλ' ἐστὲ γὰρ ὑπὸ τῶν τούτου ἁμαρτημάτων ἤδη καταπλῆγες, διὰ τὸ πολλάκις ἰδεῖν καὶ ἀκοῦσαι· ὥστε οὐδὲ τὰ δεινὰ ἔτι δεινὰ δοκεῖ ὑμῖν εἶναι. ἀλλὰ προσέχετε τὸν νοῦν, δοκείτω δ' ὑμῖν ἡ γνώμη δρᾷν ἃ οὗτος ποιεῖ, καὶ διαγνώσεσθε ἄμεινον. οὗτος γὰρ ἐνδὺς στολὴν, μιμούμενος τὰ ἱερὰ, ἐπεδείκνυε τοῖς ἀμυήτοις, καὶ εἶπε τῇ φωνῇ τὰ ἀπόῤῥητα. τῶν δὲ θεῶν, οὓς ἡμεῖς θεοὺς νομίζομεν καὶ θεραπεύοντες καὶ ἁγνεύοντες θύομεν καὶ προσευχόμεθα, τούτους περιέκοψε· καὶ ἐπὶ τούτοις ἱέρειαι καὶ ἱερεῖς

στάντες κατηρέσαντο πρὸς ἑσπέραν, καὶ φοινικίδας ἀνέσεισαν, κατὰ τὸ νόμιμον τὸ παλαιὸν καὶ ἀρχαῖον. ὡμολόγησε δὲ οὗτος ποιῆσαι. ἔτι δὲ παρελθὼν τὸν νόμον, ὃν ὑμεῖς ἔθεσθε, εἴργεσθαι τῶν ἱερῶν αὐτὸν, ὡς ἀλιτήριον ὄντα, ταῦτα πάντα βιασάμενος, εἰσελήλυθεν ἡμῶν εἰς τὴν πόλιν, καὶ ἔθυσεν ἐπὶ τῶν βωμῶν, ὧν οὐκ ἐξῆν αὐτῷ, καὶ ἀπήντα τοῖς ἱεροῖς, περὶ ἃ ἠσέβησεν. εἰσῆλθεν εἰς τὸ Ἐλευσίνιον, ἐχερνίψατο ἐκ τῆς ἱερᾶς χέρνιβος. τίνα χρὴ ταῦτα ἀνασχέσθαι; ποῖον φίλον, ποῖον συγγενῆ, ποῖον δικαστὴν χρὴ τούτῳ χαρισάμενον κρῦβδην, φανερῶς τοῖς θεοῖς ἀπέχθεσθαι; νῦν οὖν χρὴ νομίζειν τιμωρουμένους, καὶ ἀπαλλαττομένους Ἀνδοκίδου, τὴν πόλιν καθαίρειν, ἀρὰν ἀπάγεσθαι καὶ ἀποδιοπομπεῖσθαι καὶ φάρμακον ἀποπέμπειν, καὶ ἀλιτηρίου ἀπαλλάττεσθαι· ὡς ἓν τούτων οὗτός ἐστι. βούλομαι τοίνυν εἰπεῖν, ἃ Διοκλῆς ὁ Σακόρου τοῦ ἱεροφάντου, πάππος δὲ ἡμέτερος, συνεβούλευσε βουλευομένοις ὑμῖν ὅ, τι δεῖ χρῆσθαι Μεγαρεῖ ἀνδρὶ ἠσεβηκότι. καλευόντων γὰρ ἑτέρων ἄκριτον παραχρῆμα ἀποκτεῖναι, παρήνεσε κρῖναι, τῶν ἀνθρώπων ἕνεκα· ἵνα ἀκούσαντες καὶ ἰδόντες σωφρονέστεροι οἱ ἄλλοι ὦσι· τῶν δὲ θεῶν ἕνεκα οἰκοθεν ἕκαστον, ἃ δεῖ τὸν ἀσεβοῦντα παθεῖν, αὐτὸν παρ' ἑαυτῷ κεκρικότα εἰς τὸ δικαστήριον εἰσιέναι. καὶ ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, (ἐπίστασθε γὰρ ἃ δεῖ ποιῆσαι) μὴ ἀναπεισθῆτε ὑπὸ τούτου. φανερῶς ἔχετε αὐτὸν ἀσεβοῦντα. εἴδετε, ἠκούσατε τὰ τούτου ἁμαρτήματα. ἀντιβο-

λήσει καὶ ἱκετεύσει ὑμᾶς· μὴ ἐλεεῖτε οὐ γὰρ οἱ δικαίως ἀποθνήσκοντες, ἀλλ' οἱ ἀδίκως, ἄξιοί εἰσιν ἐλεεῖσθαι.

ΑΡΕΟΠΑΓΙΤΙΚΟΣ ΥΠΕΡ ΤΟΥ ΣΗΚΟΥ ΑΠΟΛΟΓΙΑ.

Πρότερον μὲν, ὦ βουλὴ, ἐνόμιζον ἐξεῖναι τῷ βουλομένῳ, ἡσυχίαν ἄγοντι, μήτε δίκας ἔχειν, μήτε πράγματα. νυνὶ δὲ οὕτως ἀπροσδοκήτοις αἰτίαις καὶ πονηροῖς συκοφάνταις περιπέπτωκα, ὥστ', εἴπως οἷόν τε, δοκεῖ μοι δεῖν, καὶ τοὺς μὴ γεγονότας ἤδη δεδιέναι περὶ τῶν μελλόντων ἔσεσθαι. διὰ γὰρ τοὺς τοιούτους οἱ κίνδυνοι κοινοὶ γίγνονται καὶ τοῖς μηδὲν ἀδικοῦσι καὶ τοῖς πολλὰ ἡμαρτηκόσιν. οὕτω δ' ἄπορος ὁ ἀγὼν μοι καθέστηκεν, ὥστε ἀπεγράφην τὸ μὲν πρῶτον, ἐλαίαν ἐκ τῆς γῆς ἀφανίζειν, καὶ πρὸς τοὺς ἐωνημένους τοὺς καρποὺς τῶν μοριῶν πυνθανόμενοι προσῆλθον· ἐπειδὴ δ' ἐκ τούτου τοῦ τρόπου ἀδικοῦντά με οὐδὲν εὑρεῖν ἐδυνήθησαν, νυνί με σηκὸν ἀφανίζειν, ἡγούμενοι, ἐμοὶ μὲν ταύτην τὴν αἰτίαν ἀπορωτάτην εἶναι ἀποδεῖξαι, αὐτοῖς δὲ ἐξεῖναι μᾶλλον ὅ, τι ἂν βούλωνται λέγειν. καὶ δὴ δεῖ μέν με, περὶ ὧν οὗτος ἐπιβεβουλευκὼς ἧκει, ἐν ὑμῖν τοῖς διαγνωσομένοις περὶ τοῦ πράγματος ἅπαντος,

καὶ περὶ τῆς πατρίδος, καὶ περὶ τῆς οὐσίας ἀγωνίζεσθαι. ὅμως δὲ πειράσομαι ἐξ ἀρχῆς ὑμᾶς διδάξαι. ἦν μὲν γὰρ τοῦτο Πεισάνδρου τὸ χωρίον. δημευθέντων δὲ τῶν ὄντων ἐκείνου, Ἀπολλόδωρος ὁ Μεγαρεὺς δωρεὰν παρὰ τοῦ δήμου λαβὼν, τὸν μὲν ἄλλον χρόνον ἐγεώργει, ὀλίγῳ δὲ πρὸ τῶν τριάκοντα, Ἀντικλῆς παρ' αὐτοῦ πριάμενος, ἐξεμίσθωσεν· ἐγὼ δὲ παρ' Ἀντικλέους εἰρήνης οὔσης ὠνούμην. ἡγοῦμαι τοίνυν, ὦ βουλὴ, ἐμὸν ἔργον, ἀποδεῖξαι ὡς, ἐπειδὴ τὸ χωρίον ἐκτησάμην, οὔτ' ἐλαία, οὔτε σηκὸς ἐνῆν ἐν αὐτῷ. νομίζω γὰρ τοῦ μὲν προτέρου χρόνου, οὐδ' εἰ πάλαι ἐνῆσαν μορίαι, οὐκ ἂν δικαίως ζημιοῦσθαι. εἰ γὰρ μὴ δι' ἡμᾶς εἰσὶν ἠφανισμέναι, οὐδὲν προσήκει περὶ τῶν ἀλλοτρίων ἁμαρτημάτων ὡς ἀδικοῦντας κινδυνεύειν. πάντες γὰρ ἐπίστασθε, ὅτι πόλεμος καὶ ἄλλων πολλῶν αἴτιος κακῶν γεγένηται. καὶ τὰ μὲν πρῶρα ὑπὸ Λακεδαιμονίων ἐτέμνετο· τὰ δ' ἐγγὺς ὑπὸ τῶν φίλων διηρπάζετο. ὥστε πῶς ἂν δικαίως ὑπὲρ τῶν τῇ πόλει γεγενημένων συμφορῶν ἐγὼ νυνὶ δίκην διδοίην; ἄλλως τε καὶ τοῦτο τὸ χωρίον ἐν τῷ πολέμῳ δημευθὲν ἄπρατον ἦν πλείονα ἢ τρία ἔτη. οὐ θαυμαστὸν, ε τότε τὰς μορίας ἐξέκοπτον, ἐν ᾧ οὐδὲ τὰ ἡμέτερ αὐτῶν φυλάττειν ἠδυνάμεθα. ἐπίστασθε δὲ, ὦ βο λὴ, ὅσοι μάλιστα τῶν τοιούτων ἐπιμελεῖσθε, πολ ἐν ἐκείνῳ τῷ χρόνῳ δασέα ὄντα ἰδίαις καὶ μορί ἐλαίαις, ὧν νῦν τὰ πολλὰ ἐκκέκοπται, καὶ ἡ γῆ λὴ γεγένηται καὶ τῶν αὐτῶν καὶ ἐν τῇ εἰρήνῃ κα τῷ πολέμῳ κεκτημένων, οὐκ ἀξιοῦτε παρ' αὐ

ἑτέρων ἐκκοψάντων, δίκην λαμβάνειν. καίτοι εἰ τοὺς διὰ παντὸς τοῦ χρόνου γεωργοῦντας τῆς αἰτίας ἀφίετε, ἧπου χρὴ τοὺς γ' ἐν τῇ εἰρήνῃ πριαμένους ἀφ' ὑμῶν ἀζημίους γενέσθαι. ἀλλὰ γὰρ, ὦ βουλὴ, περὶ μὲν τῶν πρότερον γεγενημένων πολλὰ ἔχων εἰπεῖν, ἱκανὰ νομίζω τὰ εἰρημένα. ἐπειδὴ δ' ἐγὼ παρέλαβον τὸ χωρίον, πρὶν ἡμέρας πέντε γενέσθαι, ἀπεμίσθωσα Καλλιστράτῳ, ἐπὶ Πυθοδώρου ἄρχοντος. δύο δ' ἔτη ἐγεώργησεν, οὔτε ἰδίαν ἐλαίαν, οὔτε μορίαν, οὔτε σηκὸν παραλαβών· τρίτῳ δὲ ἔτει Δημήτριος οὗτοσὶ εἰργάσατο ἐνιαυτόν· τῷ δὲ τετάρτῳ Ἀλκίᾳ Ἀντισθένους ἀπελευθέρῳ ἐμίσθωσα, ὃς τέθνηκε, ταῦτα τρία ἔτη. ὁμοίως καὶ πρότερον ἐμισθώσατο. καί μοι δεῦρο ἴτε μάρτυρες. ΜΑΡΤΥΡΙΑΙ. Ἐπειδὴ τοίνυν ὁ χρόνος οὗτος ἐξήκει, αὐτὸς γεωργῶ. φησὶ δὲ ὁ κατήγορος, ἐπὶ Σουνιάδου ἄρχοντος σηκὸν ὑπ' ἐμοῦ ἐκκεκόφθαι. ὑμῖν δὲ μεμαρτυρήκασιν οἱ πρότερον ἐργαζόμενοι, καὶ πολλὰ ἔτη παρ' ἐμοῦ μεμισθωμένοι, μὴ εἶναι σηκὸν ἐν τῷ χωρίῳ. καίτοι πῶς ἄν τις φανερῶς ἐξελέγξειε ψευδόμενον τὸν κατήγορον; οὐ γὰρ οἰόντε, ἃ πρότερον μὴ ἦν, ταῦτα τὸν ὕστερον ἐργαζόμενον ἀφανίζειν. ἐγὼ τοίνυν, ὦ βουλὴ, ἐν μὲν τῷ τέως χρόνῳ, ὅσοι με φάσκοιεν δεινὸν εἶναι καὶ ἀκριβῆ, καὶ οὐδὲν ἂν εἰκῇ καὶ ἀλογίστως ποιῆσαι, ἠγανάκτουν ἄν, ἡγούμενος μᾶλλον λέγεσθαι, ὡς μοι προσῆκε· νῦν δὲ πάντας ἂν ὑμᾶς βουλοίμην περὶ ἐμοῦ ταύτην τὴν γνώμην ἔχειν, ἵνα ἡγῆσθέ με σκοπεῖν, εἴπερ τοιούτοις ἔργοις ἐπεχείρουν, καὶ ὅ, τι κέρδος ἐγένετο τῷ ἀφα-

οντι, καὶ ἥτις ζημία τῷ ποιήσαντι· καὶ τί ἂν λα-
ὼν διεπραξάμην, καὶ τί ἂν φανερὸς γενόμενος ὑφ'
μῶν ἔπασχον· πάντες γὰρ ἄνθρωποι τὰ τοιαῦτα
ὐχ ὕβρεως, ἀλλὰ κέρδους ἕνεκα ποιοῦσι· καὶ ὑμᾶς
εἰκὸς οὕτω σκοπεῖν, καὶ τοὺς ἀντιδίκους ἐκ τούτων
τὰς κατηγορίας ποιεῖσθαι, ἀποφαίνοντας, ἥτις ὠ-
φέλεια τοῖς ἀδικήσασιν ἐγένετο. οὗτος μέντοι οὐκ
ἂν ἔχοι ἀποδεῖξαι, οὔθ' ὡς ὑπὸ πενίας ἠναγκάσθην
τοιούτοις ἔργοις ἐπιχειρεῖν, οὔθ' ὡς τὸ χωρίον μοι
διαφθείρεται τοῦ σηκοῦ ὄντος, οὔθ' ὡς ἐγὼ ἄπει-
ἐμποδὼν ἦν, οὔθ' ὡς οἰκίας ἐγγὺς· οὔθ' ὡς ἐγὼ ἄπει-
ρος τῶν παρ' ὑμῖν κινδύνων, εἴ τι τούτων ἔπραττον,
πολλὰς ἂν καὶ μεγάλας ἐμαυτῷ ζημίας γενομένας ἀ-
ποφήνασθαι. ὃς πρῶτον μὲν μεθ' ἡμέραν ἐξέκοπτον
τὸν σηκὸν, ὥσπερ οὐ πάντας λαθεῖν δέον, ἀλλὰ
πάντας Ἀθηναίους εἰδέναι. καὶ εἰ μὲν αἰσχρὸν ἦν
μόνον τὸ πρᾶγμα, ἴσως ἄν τις τῶν παριόντων ἠμέ-
λησε· νῦν δ' οὐ περὶ αἰσχύνης, ἀλλὰ τῆς μεγίστης
ζημίας ἐκινδύνευον. πῶς οὖν οὐκ ἂν ἦν ἀθλιώτα-
τος ἀνθρώπων ὑπάντων, εἰ τοὺς ἐμαυτοῦ θεράπον-
τας μηκέτι δούλους ἔμελλον ἕξειν, ἀλλὰ δεσπότας;
τὸν λοιπὸν βίον, τοιοῦτον ἔργον συνειδότας; ὥστε
εἰ καὶ τὰ μέγιστα ὠφὲ ἐμὲ ἐξημάρτανον, οὐκ ἂν οἰόν-
τε ἦν δίκην με παρ' αὐτῶν λαμβάνειν. εὖ γὰρ ἂν
εἰδείην, ὅτι ἐπ' ἐκείνοις ἦν καὶ ἐμὲ τιμωρήσασθαι,
καὶ αὐτοῖς μηνύσασιν ἐλευθέροις γενέσθαι. ἔτι τοί-
νυν εἰ τῶν οἰκετῶν παρεστήκοι μοι μηδὲν φροντί-
ζειν, πῶς ἂν ἐτόλμησα, τοσούτων μεμισθωμένων,
καὶ ἁπάντων συνειδότων, ἀφανίσαι τὸν σηκὸν, βρα-

νυς ἕνεκα, προθεσμίας δὲ οὐδεμιᾶς οὔ-
ῳ, τοῖς εἰργασμένοις ἅπασι τὸ χωρίον
ιον, εἶναι σῶον τὸν σηκόν· ἴν', εἴ τι
, εἶχον ἂν ἐνεγκεῖν, ὅτῳ παρέδοσαν.
ὲ ἀπολύσαντες φαίνονται, καὶ σφᾶς
ψεύδονται, μετόχους τῆς αἰτίας κα-
τοίνυν καὶ τούτους παρεσκευασάμην,
ἦν πάντας πεῖσαι τοὺς παριόντας, ἢ
οἳ οὐ μόνον ἀλλήλων ταῦτ' ἴσασιν, ὅ
ἐστιν, ἀλλὰ καὶ περὶ ὧν ἀποκρυπτό
εἰδέναι, καὶ περὶ ἐκείνων πυνθάνον-
ν τούτων οἱ μὲν, φίλοι, οἱ δὲ, διώ-
ν ἐμῶν τυγχάνουσιν ὄντες. οὓς ἐχρῆν
γέσθαι μάρτυρας, καὶ μὴ μόνον σῦτα
γορίας ποιεῖσθαι· ὃς φησιν, ὡς ἐγὼ
ειν, οἱ δ' οἰκέται ἐξέτεμνον τὰ πρὸ
νος δὲ ὁ βοηλάτης ᾤχετο ἀπάγων τα
, ὦ Νικόμαχε, χρῆν σε τότε καὶ πα-
παριόντας μάρτυρας, καὶ φανερὸν
γμα· καὶ ἐμοὶ μὲν οὐδεμίαν ἂν ἀπο-
ες, αὐτὸς δὲ, εἰ μέν σοι ἐχθρὸς ἦν,
ὁπῳ ἦσθα ἄν με τετιμωρημένος· εἰ
ἕνεκα ἔπραττες, οὕτως ἐξελέγξας οὐκ
ι συκοφάντης· εἰ δὲ κερδαίνειν ἐβού-
πλεῖστον ἔλαβες. φανεροῦ γὰρ ὄντος
ς, οὐδεμίαν ἄλλην ἡγούμην ἂν εἶναι
ἢ σε πεῖσαι. τούτων τοίνυν οὐδὲν
οὺς σοὺς λόγους ἀξιοῖς με ἀπολέσθαι,
, ὡς ὑπὸ τῆς ἐμῆς δυνάμεως καὶ τῶν

ἐμῶν χρημάτων οὐδεὶς ἐθέλει σοι μαρτυρεῖν. κα
εἰ φήσας μ᾽ ἰδεῖν τὴν μορίαν ἀφανίζοντα, τοὺς
νέα ἄρχοντας ἐπήγαγες, ἢ ἄλλους τινὰς τῶν ἐξ
ρείου πάγου, οὐκ ἂν ἑτέρων ἔδει σοι μαρτύ
οὕτω γὰρ ἂν σοι συνήδεσαν ἀληθῆ λέγοντι, ο
καὶ διαγινώσκειν ἔμελλον περὶ τοῦ πράγματος.
νότατα οὖν πάσχω· ὃς, εἰ μὲν παρέσχετο μάρτυ
τούτοις ἂν ἠξίου πιστεύειν· ἐπειδὴ δὲ οὐκ εἰσὶν
τῷ, ἐμοὶ καὶ ταύτην τὴν ζημίαν οἴεται χρῆναι
σθαι. καὶ τοῦτο μὲν οὐ θαυμάζω. οὐ γὰρ δή
συκοφαντῶν θαμὰ τοιούτων γε λόγων ἀπορήσει
καὶ μαρτύρων ἀπορήσει. ὑμᾶς δ᾽ οὐκ ἀξιῶ τὴν
τὴν τούτῳ γνώμην ἔχειν. ἐπίστασθε γὰρ ἐν τῷ
δίῳ πολλὰς μορίας οὔσας, καὶ πυρκαϊάς, ἐν
ἄλλοις τοῖς ἐμοῖς χωρίοις· ἃς, εἴπερ ἐπεθύμουν,
λὺ ἦν ἀσφαλίστερον καὶ ἀφανίσαι καὶ ἐκκόψαι,
ἐπεργάσασθαι, ὅσῳπερ ἧττον τὸ ἀδίκημα, πο
οὐσῶν, ἔμελλε δῆλον ἔσεσθαι. νῦν δ᾽ οὕτως α
περὶ πολλοῦ ποιοῦμαι, ὥσπερ καὶ τὴν ἄλλην
σίαν, ἡγούμενος περὶ ἀμφοτέρων τούτων εἶναι
τὸν κίνδυνον. αὐτοὺς τοίνυν ὑμᾶς τούτων μά
ρας παρέξομαι, ἐπιμελομένους μὲν ἑκάστου μ
ἐπιγνώμονας δὲ πέμποντας καθ᾽ ἕκαστον ἐνιαυ
ὧν οὐδεὶς πώποτε ἐζημίωσεν ὡς ἐργαζομένους
περὶ τὰς μορίας χωρία. καίτοι οὐ δήπου τὰς
μικρὰς ζημίας οὕτω περὶ πολλοῦ ποιοῦμαι, τοὺ
περὶ τοῦ σώματος κινδύνους οὕτω περὶ οὐδενὸ
γοῦμαι· καὶ τὰς μὲν πολλὰς ἐλαίας, εἰς ἃς ἔξῆν
λον ἑξαμαρτάνειν, οὕτω θεραπεύων φαίνομαι,

δὲ μορίαν, ἣν οὐχ οἷόν τ' ἦν λαθεῖν ἐξορύξαντα, ὡς ἀφανίζων, νυνὶ κρίνομαι. πότερον δέ μοι κρεῖττον ἦν, ὦ βουλὴ, δημοκρατίας οὔσης παρανομεῖν, ἢ ἐπὶ τῶν τριάκοντα; καὶ οὐ λέγω ὡς τότε δυνάμενος, ἢ ὡς νῦν διαβεβλημένος, ἀλλ' ὡς τῷ βουλομένῳ τότε μᾶλλον ἐξῆν ἀδικεῖν, ἢ νυνί. ἐγὼ τοίνυν οὐδ' ἐν ἐκείνῳ τῷ χρόνῳ οὔτε τοιοῦτον, οὔτε ἄλλο οὐδὲν πονηρὸν ποιήσας φανήσομαι. πῶς δ' ἄν, εἰ μὴ πάντων ἀνθρώπων ἐμαυτῷ κακονούστατος ἦν, ὑμῶν οὕτως ἐπιμελουμένων, ἐκ τούτου τὴν μορίαν ἀφανίζειν ἐπεχείρησα τοῦ χωρίου, ἐν ᾧ δένδρον μὲν οὐδὲ ἕν ἐστι, μιᾶς δὲ ἐλαίας σηκὸς, ὡς οὗτός φησιν εἶναι· κυκλόθεν δὲ ὁδὸς περιέχει· ἀμφοτέρωθεν δὲ γείτονες περιοικοῦσιν· ἄερκτον δὲ καὶ πανταχόθεν κατοπτόν ἐστιν; ὥστε τίς ἂν ἀπετόλμησε, τούτων οὕτως ἐχόντων, ἐπιχειρῆσαι τοιούτῳ πράγματι; δεινὸν δέ μοι δοκεῖ εἶναι, ὑμᾶς μὲν, οἷς ὑπὸ τῆς πόλεως τὸν ἅπαντα χρόνον προστέτακται τῶν μοριῶν τῶν ἐμῶν ἐπιμελεῖσθαι, μήθ' ὡς ἀπεργαζόμενον πώποτε ζημιῶσαι, μήθ' ὡς ἀφανίζοντα εἰς κίνδυνον αστῆσαι· τοῦτον δ', ὃς οὔτε γεωργῶν ἐγγὺς τυγχάνει, οὔτ' ἐπιμελητὴς ῥηθεὶς, οὔθ' ἡλικίαν ἔχων ἁρμοττουσαν περὶ τῶν τοιούτων, ἀπογράψαι με ἐγγὺς μοι ἀφανίζειν. ἐγὼ τοίνυν δέομαι ὑμῶν μὴ τοὺς τοὺς λόγους πιστοτέρους ἡγήσασθαι τῶν ἔργων, περὶ ὧν αὐτοὶ σύνιστε, ταῦτ' ἀνασχέσθαι τῶν ἐχθρῶν λεγόντων· ἐνθυμουμένους καὶ ἐκ τῶν νων, καὶ ἐκ τῆς ἄλλης πολιτείας. ἐγὼ γὰρ τὰ ροστεταγμένα ἅπαντα προθυμότερον πεποιη-

κα, ὡς ὑπὸ τῆς πόλεως ἠναγκαζόμην, καὶ τρηρα
χῶν, καὶ εἰσφορὰς εἰσφέρων, καὶ χορηγῶν, καὶ τἆ
λα λειτουργῶν, οὐδενὸς ἧττον πολυτελῶς τῶν πολ
τῶν. καίτοι ταῦτα μὲν μετρίως ποιῶν, ἀλλὰ μ
προθύμως, οὔτ' ἂν περὶ φυγῆς, οὔτ' ἂν περὶ τι
ἄλλης οὐσίας ἠγωνιζόμην. πλείω δ' ἂν ἐκεκτήμη
οὐδὲν ἀδικῶν, οὐδ' ἐπικίνδυνον ἐμαυτῷ καταστη
σας τὸν βίον. ταῦτα δὲ πράξας, ἃ οὗτός μου κατη
γορεῖ, ἐκέρδαινον μὲν οὐδέν, ἐμαυτὸν δ' εἰς κίνδι
νον καθίστην. καίτοι πάντες ἂν ὁμολογήσαιτε, δ
καιότερον εἶναι τοῖς μεγάλοις χρῆσθαι τεκμηρίο
περὶ τῶν μεγάλων, καὶ πιστότερα ἡγεῖσθαι, περ
ὧν ἅπασα ἡ πόλις μαρτυρεῖ, μᾶλλον ἢ περὶ ὧν μ
νος οὗτος κατηγορεῖ. ἔτι τοίνυν, ὦ βουλή, ἐκ τῶ
ἄλλων σκέψασθε. μάρτυρας γὰρ ἔχων αὐτῷ προ
ἦλθον, λέγων, ὅτι μοι πάντες εἰσὶν οἱ θεράπο
τες, οὓς ἐκεκτήμην, ἐπειδὴ παρέλαβον τὸ χωρί
καὶ ἕτοιμος ἦμην, εἴ τινα βούλοιτο, παραδοῦ
βασανίζειν· ἡγούμενος οὕτως ἂν τὸν ἔλεγχον ἰσ
φότερον γενέσθαι τῶν τούτου λόγων ἐκ τῶν ἔρ
τῶν ἐμῶν. οὗτος δ' οὐκ ἤθελεν, οὐδὲν φάσκων
στὸν εἶναι τοῖς θεράπουσιν, ἐμοὶ δὲ δοκεῖ εἶναι
περὶ αὐτῶν μὲν οἱ βασανιζόμενοι κατηγοροῦσιν
εἰδότες, ὅτι ἀποθανοῦνται· περὶ δὲ τῶν δεσπο
οἷς πεφύκασι κακονούστατοι, μᾶλλον ἂν εἵλον
νεχεσθαι βασανιζόμενοι, ἢ κατειπόντες, ἀπηλλ
τῶν παρόντων κακῶν. καὶ μὲν δή, ὦ βουλή,
ρὸν οἶμαι εἶναι, ὅτι, εἰ, Νικομάχου ἑξαιτ
τοὺς ἀνθρώπους, μὴ παρεδίδουν, ἐδόκουν ἂ

τῷ ξυνειδέναι· ἐπειδὴ τοίνυν, ἐμοῦ παραδιδόντος, οὗτος παραλαβεῖν οὐκ ἤθελε, δίκαιον καὶ περὶ τούτου τὴν αὐτὴν γνώμην σχεῖν· ἄλλως τε καὶ τοῦ κινδύνου οὐκ ἴσου ἀμφοτέροις ὄντος. περὶ ἐμοῦ μὲν γὰρ εἰ ἔλεγον, οὐδ' ἂν ἀπολογήσασθαί μοι ἐξεγένετο· τούτῳ δ' εἰ μὴ ὡμολόγουν, ἃ οὗτος ἐβούλετο, οὐδεμιᾷ ζημίᾳ ἔνοχος ἦν. ὥστε πολὺ μᾶλλον τοῦτον παραλαμβάνειν ἐχρῆν, ἢ ἐμὲ παραδοῦναι προσήκει. ἐγὼ τοίνυν εἰς τοῦτο προθυμίας ἀφικόμην, ἡγούμενος μετ' ἐμοῦ εἶναι καὶ ἐκ βασάνων, καὶ ἐκ μαρτύρων, καὶ ἐκ τεκμηρίων, ὑμᾶς περὶ τοῦ πράγματος τἀληθῆ πυθέσθαι. ἐνθυμεῖσθαι δὲ χρή, ὦ βουλή, ποτέροις χρὴ πιστεύειν μᾶλλον· οἷς πολλοὶ μεμαρτυρήκασιν, ἢ ᾧ μηδεὶς τετόλμηκε· καὶ πότερον εἰκὸς μᾶλλον, τοῦτον ἀκινδύνως ψεύδεσθαι, ἢ μετὰ τοσούτου κινδύνου τοιοῦτον ἐμὲ ἔργον ἐργάσασθαι· καὶ πότερον οἴεσθε αὐτὸν ὑπὲρ τῆς πόλεως βοηθεῖν, ἢ συκοφαντοῦντα αἰτιάσασθαι; ἐγὼ μὲν ὑμᾶς ἡγοῦμαι, ὅτι Νικόμαχος ὑπὸ τῶν ἐχθρῶν πεισθεὶς τῶν ἐμῶν τοῦτον τὸν ἀγῶνα ἀγωνίζεται, οὐχ ὡς ἀδικοῦντα ἐλπίζων ἀποδείξειν, ἀλλ' ὡς ἀργύριον παρ' ἐμοῦ λήψεσθαι προσδοκῶν. ὅσῳ γὰρ οἱ τοιοῦτοι εἰσὶν ἐπαιτιώτατοι καὶ ἀπορώτατοι τῶν κινδύνων, τοσούτῳ πάντες αὐτοὺς φεύγουσι μάλιστα. ἐγὼ δέ, ὦ βουλή, οὐκ ἠξίουν, ἀλλ' ἐπειδήπερ με ᾐτιάσατο, παρέσχον ἐμαυτὸν ὅ, τι βούλεσθε χρῆσθαι· καὶ τούτου οὕνεκα τοῦ κινδύνου, οὐδενὶ ἐγὼ τῶν ἐχθρῶν διηλλάγην, οἳ ἐμὲ ἥδιον κακῶς λέγουσιν, ἢ σφᾶς αὐτοὺς ἐπαινοῦσι· καὶ φανερῶς μὲν οὐδεὶς πώποτε

ἐμὲ αὐτὸς ἐπεχείρησε ποιῆσαι κακὸν οὐδέν, το
τους δὲ ἐπιπέμπουσί μοι, οἷς ὑμεῖς οὐκ ἂν δικ
πιστεύοιτε. πάντων γὰρ ἀθλιώτατος ἂν γενοί
εἰ φυγὰς ἀδίκως καταστήσομαι, ἅπαις μὲν ὢν
μόνος, ἐρήμου δὲ τοῦ οἴκου γενομένου· μητρὸ
πάντων ἐνδεοῦς, πατρίδος δὲ τοιαύτης ἐπ' αἰ
σταις στερηθεὶς αἰτίαις· πολλὰς μὲν ναυμα
ὑπὲρ αὐτῆς νεναυμαχηκώς, πολλὰς δὲ μάχας μι
χημένος· κόσμιον δ' ἐμαυτὸν καὶ ἐν δημοκρατίᾳ
ἐν ὀλιγαρχίᾳ παρασχών. ἀλλὰ γὰρ, ὦ βουλή, το
μὲν ἐνθάδε οὐκ οἶδ', ὅ τι δεῖ λέγειν. ἀπέδειξ
ὑμῖν, ὡς οὐκ ἐνῆν σηκὸς ἐν τῷ χωρίῳ, καὶ μά
ρας παρεσχόμην καὶ τεκμήρια. ἃ χρὴ μεμνημέ
διαγιγνώσκειν περὶ τοῦ πράγματος, καὶ ἀξιοῦν
ρὰ τούτου πυθέσθαι, ὅτου ἕνεκα, ἐξὸν ἑπαυτο
ρῳ ἐλέγξαι, τοσούτῳ χρόνῳ ὕστερον εἰς τοσοῦτό
κατέστησεν ἀγῶνα· καὶ μάρτυρα οὐδένα παρα
μενος, ἐκ τῶν λόγων ζητεῖ πιστὸς γενέσθαι, ἐξὸν
τοῖς τοῖς ἔργοις ἀδικοῦντα ἀποδεῖξαι· καὶ ἐμο
παντας διδόντος τοὺς θεράποντας, οὓς φησι πι
γενέσθαι, παραλαβεῖν οὐκ ἤθελεν.

ΚΑΤΗΓΟΡΙΑ ΠΡΟΣ ΤΟΥΣ ΣΥΝΟΤΣΙΑΣΤΑΣ ΚΑΚΟΛΟΓΙΩΝ.

Ἐπιτήδειόν μοι δοκῶ καιρὸν εἰληφέναι περὶ ὧν εἰπεῖν ἐβουλόμην πάλαι. πάρεισι μὲν γὰρ οἷς ἐπεγκαλῶ, πάρεισι δὲ ὧν ἐναντίον ἐπιθυμῶ μέμψασθαι τοῖς ἀδικοῦσιν ἐμέ. καίτοι πολλῷ πλείων ἐστὶ σπουδὴ πρὸς τοὺς παρόντας. τοὺς μὲν γὰρ οὐδὲν οἶμαι τιμήσειν, εἰ τοῖς ἀνεπιτηδείοις ἀνεπιτήδειοι δόξουσιν εἶναι, (τὴν γὰρ ἀρχὴν οὐδ' ἂν ἐπεχείρουν ἐξαμαρτάνειν εἰς ἐμέ) τοῖς δὲ βουλοίμην ἂν δόξαι, μηδὲν ἀδικῶν τούτους, ὑπὸ τούτων ἀδικεῖσθαι πρότερον. ἀνιαρὸν μὲν οὖν, ἀναγκάζεσθαι λέγειν περὶ τούτων. ἀδύνατον δὲ μὴ λέγειν, ὅταν ἐναντίον τῆς ἐλπίδος κακῶς πάσχω, καὶ τους δοκοῦντας εἶναι φίλους ἀδικοῦντας εὑρίσκω. πρῶτον μὲν οὖν, ἵνα μή τις ὑμῶν, τάχα δὴ βοηθῶν οἷς ἐξημάρτηκε, πρόφασιν πορίσηται τῆς ἁμαρτίας, εἰπάτω οὖν, τίς ὑμῶν ὑπ' ἐμοῦ κακῶς ἀκήκοεν, ἢ πέπονθεν· ἢ τίς ἐμοῦ δεηθεὶς οὐκ ἔτυχεν, ὧν ἐγώ τε δυνατὸς ἦν, κἀκεῖνος ἐπήγγειλε. τί δῆτά με κακῶς τὰ μὲν λέγειν, τὰ δὲ ποιεῖν ἐπιχειρεῖτε; καὶ ταῦτα πρὸς τούτους ἡμᾶς διαβάλλειν, οὓς πρὸς ἡμᾶς αὐτοὺς διεβάλλετε; καίτοι οὕτως ἐνοχλεῖ, ὥστε περὶ πλείονος ἐποιήσατο

δοκεῖν ἐμοῦ κήδεσθαι, ἢ μᾶλλον ἐμοῦ κατειπεῖν· ἃ δ' ἔλεγε, πάντα μὲν οὐκ ἂν εἴποιμι. καὶ γὰρ ἀκούων ἠχθόμην. οὐδ' ἂν ὑμῖν ἐπικαλῶν, ὅτι ἐλέγετε κατ' ἐμοῦ ταῦτα, δόξαιμι. καὶ γὰρ ἂν ἀπολύοιμι τῆς αἰτίας ὑμᾶς, εἴπερ ὑμῖν ταὐτὰ λέγομι περὶ ἐμαυτοῦ. ἃ δὲ ὑβρίζειν οἰόμενοι ἐμὲ, καταγελάστους ὑμᾶς αὐτοὺς ἐποιεῖτε, ταῦτα λέξω. βίᾳ γὰρ ὑμῖν ἐφάσκετέ με ξυνεῖναι, καὶ διαλέγεσθαι, καὶ πάντα ποιοῦντες, οὐκ ἔχειν ὅπως ἀπαλλαγῆτέ μου· καὶ τὸ τελευταῖον ἀκόντων ὑμῶν Ἐλευσῖνάδε ξυνθεωρεῖν. καὶ ταῦτα λέγοντες, οἴεσθε μὲν ἐμὲ κακολογεῖν, ἀποφαίνετε δὲ σκαιοτάτους ἑαυτοὺς, οἵτινες μὲν ὑπὸ τὸν αὐτὸν χρόνον τὸν αὐτὸν ἄνδρα λάθρα μὲν ἐλοιδορεῖτε, φανερῶς δὲ φίλον ἐνομίζετε. χρῆν γὰρ ὑμᾶς ἢ μὴ κακῶς λέγειν, ἢ μὴ ξυνεῖναι· καὶ ταῦτα, φανερῶς ἀπειπόντας ὁμιλίαν. εἰ δὲ αἰσχρὸν ἡγεῖσθε τοῦτο, πῶς αἰσχρὸν ἦν ὑμῖν ξυνεῖναι, πρὸς ὃν οὐδὲ ἀπειπεῖν καλὸν ἡγεῖσθε; καὶ μὴν οὐδὲν τοιοῦτον ἐξεῦρον ὁπόθεν ἂν εἰκότως ὑπερείδετε τὴν ἐμὴν ὁμιλίαν. οὔτε γὰρ ὑμᾶς σοφωτάτους ἑώρων ὄντας, ἐμαυτὸν δ' ἀμαθέστατον, οὐ μὴν οὐδὲ πολυφίλους ὑμᾶς, ἐμαυτὸν δ' ἔρημον φίλων, οὐδ' αὖ πλουτοῦντας, ἐμὲ δὲ πενόμενον· οὐδ' αὖ ὑμᾶς μὲν ὑπερευδοκιμοῦντας, ἐμαυτὸν δὲ διαβεβλημένον· οὐδὲ τὰ μὲν ἐμὰ πράγματα κινδυνεύοντα, τὰ δὲ ὑμέτερα ἀσφαλῶς ἔχοντα. πόθεν ἂν οὖν εἰκότως ὑπώπτευον ἄχθεσθαί μοι συνόντι; καὶ ταῦτα δ', ὅτι πρὸς τοὺς τελευταίους ἔλεγεν, οὓς ᾤεσθε ἀπαγγέλλειν ἡμῖν κἀνταῦθα σόφισμα καλὸν εἶναι, εἰ πε-

λθετε πάντες ὑμῶν αὐτῶν κατηγοροῦντες, ὅτι
ηροῖς ἐκόντες ὁμιλεῖτε. περὶ μὲν οὖν τοῦ λέγον-
οὐδὲν ἂν περαίνοιτε πυνθανόμενοι. πρῶτον
γὰρ εἰπόντες ἐρήσεσθε τὸν εἰπόντα μοι; πῶς
οὐκ ἴστε, πρὸς ὃν ἐλέγετε τὸν λόγον; ἔπειτα
ὡς ἂν εἴην, εἰ ταῦτα ποιήσαιμι αὐτόν, ἅπερ ἐκεῖ-
ὑμᾶς. οὐ γὰρ ἐπὶ τοῖς αὐτοῖς ἐκεῖνος ἡμῖν ἀ-
γελλεν, ἐφ' οἷσπερ ὑμεῖς ἐλέγετε πρὸς ἐκεῖνον.
νος μὲν γὰρ, ἐμοὶ χαριζόμενος, ἀπήγγελλε τοῖς
ῖς ἀναγκαίοις· ὑμεῖς δὲ, βλάπτειν ἐμὲ βουλόμε-
, πρὸς ἐκεῖνον ἐλέγετε. καὶ ταῦτα εἰ μὲν ἠπί-
νν, ἐξελέγχειν ἂν ἐζήτουν· νῦν δὲ· ξυμβαίνει γὰρ
ταῦτα τοῖς προτοῦ, καὶ ἐμοὶ σημεῖα ταῦτα μὲν
νων ἐστὶν, ἐκεῖνα δὲ τούτων ἱκανά. πρῶτον μὲν,
ντα δι' ὑμῶν πράξαντά με περὶ τῆς θέσεως τοῦ
ου, προσῆγε μαχόμενον κἀμνοντα τὸν ἵππον.
γειν με βουλόμενον Διόδωρος οὗτος ἀποτρέπειν
ρᾶτο, φάσκων οὐδὲν ἀντιλέξειν περὶ τῶν ὀώδεκα
ν Πολυκλέα, ἀλλ' ἀποδώσειν. τότε λέγων ταῦτα,
ὰ τὸν θάνατον τοῦ ἵππου κατέστη τελευτῶν ἀν-
κος μετὰ τούτων, λέγων, ὡς οὐ δίκαιόν με εἴη
ίσασθαι τὸ ἀργύριον. καίτοιγε ἐφ' ὧν γε αὐτὸν
ηγόρουν. εἰ γὰρ ἃ μετὰ τούτων ἀδικουμένῳ μοι
ἦν ἦν δίκαιον εἰπεῖν, ἦπου καλῶς συνέπραττον.
ἐγὼ μὲν ᾠμην φιλοσοφοῦντας αὐτοὺς περὶ τοῦ
γματος ἀντιλέγειν τὸν ἐναντίον λόγον. οἱ δ'
οὐκ ἀντέλεγον, ἀλλ' ἀντέπραττον. καὶ διὰ τοῦ-
ἀντέπραττον, ἵνα τὸν ἐμὸν λόγον εἰδείη Πολυ-
. ἐδηλώθη γὰρ ταῦτα παρόντων τῶν διαιτητῶν

ὀργιζόμενος ὁ Πολυκλῆς εἶπεν, ὅτι καὶ τοῖς ἐμοῖς ἐπιτηδείοις ἀδικεῖν δοκείη, ὡς πρὸς ἐκεῖνον λέγοιεν. ἆρά γε ταῦτα ξυμβαίνει τοῖς ἀπαγγελλομένοις; ὁ γὰρ αὐτὸς ἀπήγγειλεν, ὡς τοὺς ὑπὲρ ἐμοῦ μέλλοντας λέγειν ἀποτρέπειν φάσκοιτε, τοὺς δέ τινας ἤδη κωλύσαιτε. καὶ ταῦτα τί με δεῖ φανερώτερον ἐξελέγχειν ἔτι. φέρε γὰρ ἤδη ποτὲ ἐκεῖνο, ὅτι Κλειτοδίκου δεηθεὶς ἐκλέγειν, οὐκ ἔτυχον. οὐ γὰρ δὴ παρῆν τούτοις, ἐπεὶ κερδος ἦν αὐτῷ διαβάλλειν ἐμὲ πρὸς ὑμᾶς, οὕτω προθύμως, ὥστε σπουδάσαι πρὸς τοὺς ἐμοὺς ἀναγκαίους πλάσασθαι ταὐτόν. Γιγνώσκω δὲ νῦν ἤδη καὶ πάλαι ζητοῦντας πρόφασιν, ἥνίκα Θρασύμαχον ὑμᾶς ἐφάσκετε λέγειν κακῶς δι' ἐμέ. καὶ ἐγὼ μὲν ἠρώτων αὐτόν, εἰ δι' ἐμὲ κακῶς λέγοι Διόδωρον. ὁ δὲ τοσοῦτον ὑπερεῖδε τὸ δι' ἐμέ. πολλοῦ γὰρ δεῖν ἔφη, δι' ὀντινοῦν εἰρηκέναι Διόδωρον κακῶς. καὶ ταῦτα, προσάγοντος ἐμοῦ, πρόθυμος ὁ Θρασύμαχος ἦν ἐξελέγχεσθαι, περὶ ὧν οὗτος ἔλεγεν. οὗτος δὲ πάντων μᾶλλον διεπράττετο. μετὰ τοῦτον Αὐτοκράτης, ἐμοῦ παρόντος, Θρασυμάχῳ ἔλεγεν, Εὐρυπτόλεμον αὐτῷ μέμφεσθαι, φάσκοντα κακῶς ἀκούειν ὑπ' αὐτοῦ. τὸν ἀπαγγέλλοντα δὲ εἶναι Μηνόφιλον. εὐθὺς δ' ἐκεῖνος ἐπὶ τὸν Μηνόφιλον ἐβάδιζε μετ' ἐμοῦ· κἀκεῖνος οὔτε ἀκοῦσαι πώποτε ἔφασκεν, οὔτε ἀπαγγεῖλαι πρὸς Εὐρυπτόλεμον. καὶ οὐ ταῦτα μόνον, ἀλλ' οὐδὲ διειλέχθαι πολλοῦ χρόνου. τοιαύτας προφάσεις προφασιζόμενοι, τότε μὲν ἐκ τῆς ἐμῆς καὶ Θρασυμάχου συνουσίας ἐστὲ φανεροὶ, νῦν δὲ ἐπειδὴ ἐκλελοίπασιν ὑμᾶς

ροφάσεις, ἐλευθεριώτερόν με κακώσας, κλέπτῃ δέν. χρῆν μὲν οὖν τότε με γινώσκειν ὀφειλό- με ταῦτα παθεῖν, ὅταν καὶ πρὸς ἐμὲ περὶ αὐτῶν ἐλέγετε κακῶς· ἔπειτα καὶ περὶ Πολυκλέ- νυνὶ βοηθεῖτε πάντες, εἰρηκα πρὸς ὑμᾶς, κᾆ- δὴ ταῦτα οὐκ ἐφυλαττόμην; εὐηθὲς τι ἔπαθον. γὰρ ἀπύθετος ὑμῖν εἶναι φίλος, τοῦ μηδὲν ἀ- κακὸν, δι' αὐτὸ τοῦτο, διότι πρὸς ἐμὲ τοὺς ς ἐλέγετε, καὶ παρακαταθήκην ἔχων ὑμῶν παρ' του λόγους πονηροὺς περὶ ἀλλήλων. ἐγὼ τοίνυν ὑμῖν ἐξίσταμαι τῆς φιλίας. ἐπείτοι μὰ τοὺς ς οὐκ οἶδ' ὅ, τι ζημιωθήσομαι μὴ ξυνὼν ὑμῖν. γὰρ ὠφελοῦμην ξυνών. πότερον γὰρ, ὅταν ἤ τί ιρᾶγμα, τότε ποθέσομαι τὸν ἐροῦντα καὶ τοὺς υρήσοντας; καὶ νῦν ἀντὶ μὲν τοῦ λέγειν ὑπὲρ ἐ- τὸν λέγοντα πειρᾶσθε κωλύειν· ἀντὶ δὲ τοῦ βοη- ἐμοὶ καὶ μαρτυρεῖν τὰ δίκαια, ξύνεστε τοῖς ἐμοῖς ίκοις, καὶ μαρτυρεῖτε. ὡς εὖνοι ὄντες ἐμοὶ, τὰ στα ἐρεῖτε περὶ ἐμοῦ; ἀλλὰ καὶ νῦν ὑμεῖς με μά- κακῶς λέγετε. τὸ μὲν οὖν ἐμὸν οὐκ ἐμποδὼν ὑμῖν . τοιοῦτον γὰρ πρὸς ὑμᾶς αὐτοὺς πείσεσθε. ἐπει- ὑμῖν ἔθος ἐστὶν, ἕνα τῶν ξυνόντων ἀεὶ κακῶς καὶ ποιεῖν, ἐπειδὰν ὑμῖν ἐγὼ μηνύσω πρὸς ὑμᾶς ὺς τρέψεσθαι, κᾆπειτα καθ' ἕνα ἕκαστον ὑμῖν αὖ- ἐπεχθήσεσθε. τὸ δὲ τελευταῖον, εἷς ὁ λειπόμενος ; αὐτὸν κακῶς ἐρεῖ. κερδανῶ δὲ τοσοῦτον, ὅτι ον μὲν ὑμῶν ἀπαλλαγεὶς, ἐλάχιστα κακῶς ὑφ' ὑ- τείσομαι. τοὺς μὲν γὰρ χρωμένους ὑμῖν κακῶς καὶ ε καὶ ποιεῖτε, τῶν δὲ μὴ χρωμένων οὐδένα πώποτε.

DEFENSIO

ΛΥΣΙΟΥ
ΤΙΠΕΡ ΤΟΥ ΣΤΡΑΤΙΩΤΟΥ.

Τί ποτε διανοηθέντες οἱ ἀντίδικοι, τοῦ μὲν πράγματος παρημελήκασι, τὸν δὲ τρόπον μου ἐπεχείρησαν διαβάλλειν; πότερον ἀγνοοῦντες, ὅτι περὶ τοῦ πράγματος προσήκει λέγειν; ἢ τόδε μὲν ἐπίστανται, ἡγούμενοι δὲ λήσειν, περὶ τοῦ παντὸς πλείω λόγον ἢ τοῦ προσήκοντος ποιοῦνται; ὅτι μὲν οὖν οὐκ ἐμοῦ καταφρονήσαντες, ἀλλὰ τοῦ πράγματος, τοὺς λόγους ποιοῦνται, σαφῶς ἐπίσταμαι. εἰ μέντοι ὑμᾶς οἴονται δι' εὔνοιαν ὑπὸ τῶν διαβολῶν πεισθέντας καταψηφιεῖσθαί μου, οὐκ ἂν θαυμάσαιμι. ὥμην μὲν οὖν, ὦ ἄνδρες δικασταὶ, περὶ τοῦ ἐγκλήματος, οὐ περὶ τοῦ τρόπου, τὸν ἀγῶνά μοι προκεῖσθαι. διαβαλλόντων δέ με τῶν ἀντιδίκων, ἀναγκαῖόν ἐστι περὶ πάντων ἀπολογίαν ποιήσασθαι. πρῶτον μὲν οὖν περὶ τῆς ἀπογραφῆς ὑμᾶς διδάξω. ἐφικόμενος πρότερον εἰς τὴν πόλιν, οὔπω δύο μῆνας ἐπιδεδη μηκὼς, κατηλέγην στρατιώτης. αἰσθόμενος δὲ τ πραχθὲν, ὑπετοπούμην εὐθέως ἐπὶ μηδενὶ ὑγιεῖ κο τελιέχθαι. προσελθὼν οὖν τῷ στρατηγῷ ἐδήλωσ ὅτι ἐστρατευμένος εἴην. ἔτυχον δὲ οὐδενὸς τῶν μ

τρίων· προπηλακιζόμενος δὲ, ἠγανάκτουν μὲν, ἡσυχίαν δ' εἶχον. ἀπορούμενος δὲ καὶ συμβουλευόμενος τινὶ τῶν πολιτῶν, τί χρήσομαι τῷ πράγματι, ἐπυθόμην, ὡς καὶ δήσειν με ἀπειλοῖεν, λέγοντες, ὅτι οὐδὲν ἐλάττω χρόνον Καλλικράτους Πολύαινος ἐνδημοίη. κἀμοὶ μὲν τὰ προειρημένα διείλεκτο ἐπὶ τῇ Φιλίου τραπέζῃ. οἱ δὲ μετὰ Κτησικλέους τοῦ ἄρχοντος, ἀπαγγείλαντος τινὸς, ὡς ἐγὼ λοιδοροῖμι, τοῦ νόμου ἀπαγορεύοντος, ἐάν τις ἀρχὴν ἐν συνεδρίῳ λοιδορῇ, παρὰ τὸν νόμον ζημιῶσαι ἠξίωσαν. ἐπιβαλόντες δὲ τὸ ἀργύριον πράξασθαι μὲν οὐκ ἐπεχείρησαν· ἐξιούσης δὲ τῆς ἀρχῆς, γράψαντες εἰς λεύκωμα, τοῖς ταμίαις παρέδοσαν. οὕδε μὲν τάδε διεπράξαντο. οἱ δὲ ταμίαι, οὐδὲν ὅμοιον τοῖσδε διανοηθέντες, ἀνακαλεσάμενοι δὲ τοὺς παρόντας, καὶ τὴν γραφὴν, ἐσκοποῦντο τῆς αἰτίας τὴν πρόφασιν. ἀκούσαντες δὲ τὸ γεγενημένον, ἐννοούμενοι οἷα πεπονθὼς ἦν, τὸ μὲν πρῶτον ἔπειθον αὐτοὺς ἀφεῖναι, διδάσκοντες, ὡς οὐκ ἐπιεικὲς εἴη, τῶν πολιτῶν τινὰς διὰ τὰς ἔχθρας ἀναγράφεσθαι. ἀποροῦντες δὲ μεταπεῖσαι αὐτοὺς, τὸν παρ' ὑμῶν κίνδυνον ὑποστάντες, ἄκυρον τὴν ζημίαν ἔκριναν. ὅτι μὲν οὖν ἀφείθην ὑπὸ τῶν ταμιῶν, ἐπίστασθε. προσήκειν δὲ ἡγούμενος καὶ διὰ ταύτην τὴν ἀπόδειξιν ἀπηλλάχθαι τοῦ ἐγκλήματος, ἔτι πλείονας καὶ νόμους καὶ ἄλλας δικαιώσεις παρασχήσομαι. καί μοι λάβε τὸν νόμον.

ΝΟΜΟΣ. Τοῦ μὲν νόμου διαῤῥήδην ἀγορεύοντος τοὺς ἐν τῷ συνεδρίῳ λοιδοροῦντας ζημιοῦν, ἀκηκόατε. ἐγὼ δ', ὅτι μὲν οὐκ εἰσῆλθον εἰς τὸ ἀρχεῖον,

ἀρτυρας παρεσχόμην. ἀδίκως δὲ ζημιωθεὶς, οὔτ' ἐμοὶ μὴ ἐλθὼν εἰς τὸ συνέδριον, ὃ δὲ νόμος τοὺς ἐνπαραλόγως ζημιωθείς. συνέγνωσαν δὲ καὶ αὐτοὶ ψήφῳ κύρια κατέστησαν. εἰ δ' οὖν ἐζημίωσαν μὲν ξασθαι ἢ ἀφεῖναι, ἐννόμως ζημιωθεὶς, εὐλόγως ἂν δὲ αὐτοῖς ὑπὲρ ὧν ἂν διαχειρίζωσιν, εἴ τι ἠδικήκατρόπῳ παρεδόθην, καὶ ἐζημιώθην, ἐπίστασθε. δεῖ γὰρ φίλος ἐγενόμην, πρότερον μὲν τῆς τούτων ἔχμένον. γνώριμος δὲ γενόμενος διὰ τῆς ἐκείνου δυεὐηργέτησα. ζῶντος μὲν γὰρ, διὰ τὴν ἀνάγκην καὶ διὰ τὴν ἡλικίαν ἐσχόλαζον. ἐκλιπόντος δὲ τὸν βίον, οὔτε λόγῳ οὔτε ἔργῳ ἔβλαψα οὐδένα τῶν κατηγοροὐντων. ἔχω δὲ καὶ τοιαῦτα εἰπεῖν, ἐξ ὧν ὠφελοίμην ἂν πολὺ δικαιότερον ὑπὸ τῶν ἀντιδίκων, ἢ κακῶς πάσχοιμι. τὴν μὲν οὖν ὀργὴν διὰ τὰ προειρη-

μένα συνεστήσαντο, προφάσεως οὐδεμιᾶς πρὸς ἔχθραν ὑπαρχούσης. ὀμόσαντες μὲν οὖν τοὺς ἀστρατεύτους καταλέξειν, παρέβησαν τοὺς ὅρκους. προὔθεσαν δὲ τῷ πλήθει βουλεῦσαι περὶ τοῦ σώματος. ζημιώσαντες μὲν ὡς τὴν ἀρχὴν λοιδοροῦντα, κατολιγωρήσαντες δὲ τοῦ δικαίου, βιαζόμενοι βλάπτειν ἐξ ἅπαντος τοῦ λόγου, πᾶν ἔπραξαν μέλλοντες μεγάλα μὲν ἐμὲ βλάψειν, πολλὰ δ' ἑαυτοὺς ὠφελήσειν. οἵτινες, οὐδετέρου τούτων ὑπάρχοντος, πάντα περὶ ἐλάττονος ποιοῦνται τοῦ δικαίου. ἀλλὰ γὰρ εἰ κατεφρόνησαν τοῦ ὑμετέρου πλήθους, οὐδὲ φοβηθῆναι τοὺς θεοὺς ἠξίωσαν, ἀλλ' οὕτως ὀλιγώρως καὶ παρανόμως προσηνέχθησαν, ὥστε ἀπολογήσασθαι μὲν περὶ τῶν πεπραγμένων οὐδ' ἐπεχείρησαν· τὸ δὲ τελευταῖον, νομίζοντες οὐχ ἱκανῶς με τετιμωρῆσθαι, τὸ πέρας ἐκ τῆς πόλεως ἐξήλασαν. διατεθέντες δὲ οὕτω παρανόμως καὶ βιαίως, ἐπικρύψασθαι τὴν ἀδικίαν περὶ οὐδενὸς ἐποιήσαντο. παραγαγόντες δὲ πάλιν περὶ τῶν αὐτῶν, ἠδικηκότα με οὐδὲν ἐπιδεικνύουσι, καὶ λοιδοροῦσι· τοῖς μὲν ἐμοῖς ἐπιτηδεύμασιν οὐ προσηκούσας διαβολὰς ἐπιφέροντες, τοῖς δ' αὐτῶν τρόποις [τὰς] οἰκείας καὶ συνήθεις. οἵδε μὲν οὖν ἐκ παντὸς τοῦ τρόπου προθυμοῦνταί με τῇ δίκῃ ἁλῶναι· ὑμεῖς δὲ, μήτε ταῖς τούτων διαβολαῖς ἐπαρθέντες, ἐμοῦ καταψηφίσησθε, μήτε τοὺς βέλτιον καὶ δικαίως βουλευσαμένους, ἀκύρους κατασήσητε. οἵδε μὲν γὰρ ἅπαντα καὶ κατὰ τοὺς νόμους καὶ κατὰ τὸ εἰκὸς ἔπραξαν. ἠδικηκότες μὲν γὰρ οὐδὲν φαίνονται, λόγον δὲ πλεῖστον τοῦ δι-

καίου ποιησάμενοι. τούτων μὲν οὖν ἀδικούν
μειρίως ἂν ἠγανάκτουν, ἡγούμενος τετάχθαι, τ
μὲν ἐχθροὺς κακῶς ποιεῖν, τοὺς δὲ φίλους εὖ. π
ὑμῶν δὲ τοῦ δικαίου στερηθεὶς, πολὺ ἂν μᾶλ
λυπηθείην. δι᾽ ἔχθραν μὲν γὰρ οὐ δόξω κακῶς
πονθέναι, διὰ κακίαν δὲ τῆς πόλεως. λόγῳ μὲν
περὶ τῆς ἀπογραφῆς ἀγωνίζομαι, ἔργῳ δὲ περὶ
λιτείας. τυχὼν μὲν γὰρ τῶν δικαίων, (πιστεύε
τῇ ὑμετέρᾳ γνώμῃ,) μείναιμι ἂν ἐν τῇ πόλει. π
θεὶς δὲ ὑπὸ τῶνδε, εἰ ἀδίκως ἁλοίην, ἀποδραίην
τίνι γὰρ ἐπαρθέντα ἐλπίδι δεῖ με συμπολιτεύεσ
ἢ τί με χρὴ διανοηθέντα; εἰδότα μὲν τῶν ἀντιδί
τὴν προθυμίαν, ἀποροῦντα δ᾽, ὅθεν χρὴ τῶν
καίων τινὸς τυχεῖν; περὶ πλείστου οὖν ποιησάμ
τὸ δίκαιον, καὶ ἐνθυμηθέντες, ὅτι καὶ ὑπὲρ
περιφανῶν ἀδικημάτων συγγνώμην ποιεῖσθε, τ
μηδὲν ἀδικήσαντας, διὰ τὰς ἔχθρας μὴ πε
δητε ἀδίκως τοῖς μεγίστοις ἀτυχήμασι περι
σώντας.

ΛΥΣΙΟΥ

ΚΑΤΑ ΘΕΟΜΝΗΣΤΟΥ ΠΡΩΤΟΣ

Μαρτύρων μὲν οὐκ ἀπορίαν μοι ἔσεσθαι δοκῶ, ὦ ἄνδρες δικασταί· πολλοὺς γὰρ ὑμῶν ὁρῶ δικάζοντας τῶν τότε παρόντων, ὅτε Ἀυσίθεος Θεόμνηστον εἰσήγγελλε, τὰ ὅπλα ἀποβεβληκότα, οὐκ ἐξὸν αὐτῷ, δημηγορεῖν. ἐν ἐκείνῳ γὰρ τῷ ἀγῶνι τὸν πατέρα μ' ἔφασκεν ἀπεκτονέναι τὸν ἐμαυτοῦ. ἐγὼ δ', εἰ μὲν τὸν ἑαυτοῦ με ἀπεκτονέναι ᾐτιᾶτο, συγγνώμην ἂν εἶχον αὐτῷ τῶν εἰρημένων, (φαῦλον γὰρ αὐτὸν καὶ οὐδενὸς ἄξιον ἡγούμην) οὐδ' εἴτι ἄλλο τῶν ἀποῤῥήτων ἤκουσα, οὐκ ἂν ἐπεξῆλθον αὐτῷ· (ἀνελεύθερον γὰρ καὶ λίαν φιλόδικον εἶναι νομίζω καὶ ηγορίας δικάζεσθαι) νυνὶ δὲ αἰσχρόν μοι εἶναι δοκεῖ, περὶ τοῦ πατρὸς, οὕτω πολλοῦ ἀξίου γεγενημένου καὶ ὑμῖν καὶ τῇ πόλει, μὴ τιμωρήσασθαι τὸν ταῦτ' εἰρηκότα. καὶ παρ' ὑμῶν εἰδέναι βούλομαι, πότερον δώσει δίκην, ἢ τούτῳ μόνῳ Ἀθηναίων ἐξαίρετόν ἐστι καὶ ποιεῖν καὶ λέγειν παρὰ τοὺς νόμους ὅ, τι ἂν βούληται. ἐμοὶ γὰρ, ὦ ἄνδρες δικασταὶ, ἔτη εἰσὶ τριάκοντα τρία, ἐξ ὅτου δ' ὑμεῖς κατεληλύθατε, εἰκοστὸν τουτί. φαίνομαι οὖν τρισκαιδεκαέτης ὤν, ὅτε ὁ πατὴρ ὑπὸ τῶν τριάκοντα ἀπεθνη-

σκε. ταύτην δὲ ἔχων τὴν ἡλικίαν, οὔτ' εἴ ἐστιν ὀλιγαρχία, ἠπιστάμην, οὔτε ἂν ἐκείνῳ ἀδικουμένῳ ἠδυνάμην βοηθῆσαι. καὶ μὲν δὴ οὐκ ὀρθῶς τῶν χρημάτων ἕνεκα ἐπεβούλευσα αὐτῷ. ὁ γὰρ πρεσβύτερος ἀδελφὸς Πανταλέων ἅπαντα παρέλαβε, καὶ ἐπιτροπεύσας ἡμᾶς, τῶν πατρῴων ἀπεστέρησεν. ὥστε πολλῶν ἕνεκα, ὦ ἄνδρες δικασταὶ, προσῆκέ μοι αὐτὸν βούλεσθαι ζῆν. ἀνάγκη μὲν οὖν περὶ αὐτῶν μνησθῆναι. οὐδὲν δὲ δεῖ πολλῶν λόγων. σχεδὸν ἐπίστασθε ἅπαντες, ὅτι ἀληθῆ λέγω· ὅμως δὲ μάρτυρας αὐτῶν παρέξομαι. ΜΑΡΤΤΡΕΣ. Ἴσως τοίνυν, ὦ ἄνδρες δικασταὶ, περὶ τούτων μὲν οὐδὲν ἀπολογήσεται· ἐρεῖ δὲ πρὸς ὑμᾶς, ἅπερ ἐτόλμα λέγειν καὶ πρὸς τὸν διαιτητήν· ὡς οὐκ ἔστι τῶν ἀποφήτων, ἐάν τις εἴπῃ τὸν πατέρα ἀπεκτονέναι. τὸν γὰρ νόμον οὐ ταῦτ' ἀπαγορεύειν, ἀλλ' ἀνδροφόνον οὐκ ἐᾷν λέγειν. ἐγὼ δὲ οἶμαι ὑμᾶς, ὦ ἄνδρες δικασταὶ, οὐ περὶ τῶν ὀνομάτων διαφέρεσθαι, ἀλλὰ τῆς τούτων διανοίας· καὶ πάντας εἰδέναι, ὅτι, ὅσοι ἀνδροφόνοι εἰσὶ, καὶ ἀπεκτόνασί τινάς. πολὺ γὰρ ἔργον ἦν τῷ νομοθέτῃ ἅπαντα τὰ ὀνόματα γράφειν, ὅσα τὴν αὐτὴν δύναμιν ἔχει· ἀλλὰ περὶ ἑνὸς εἰπὼν, περὶ πάντων ἐδήλου. οὐ γὰρ δήπου, ὦ Θεόμνηστε, εἰ μέν τίς σ' εἴπῃ πατραλοίαν ἢ μητραλοίαν, ἠξίους ἂν αὐτὸν ὄφλειν σοι δίκην. εἰ δέ τις εἴποι, ὡς τὴν τεκοῦσαν ἢ τὸν φύσαντα ἔτυπτες, ὅπου ἂν αὐτὸν ἀζήμιον δεῖν εἶναι, ὡς οὐδὲν τῶν ἀποφήτων εἰρηκότα; ἡδέως γὰρ ἄν σου πυθοίμην (περὶ τοῦτο γὰρ δεινός εἶ καὶ μεμελέτηκας καὶ ποιεῖν καὶ λέγειν) εἰ

τίς σε εἴποι ῥίψαι τὴν ἀσπίδα, ἐν δὲ τῷ νόμῳ εἴρητο, ἐὰν τις φάσκῃ ἀποβεβληκέναι, ὑπόδικον εἶναι, οὐκ ἂν ἐδικάζου αὐτῷ, ἀλλ' ἐξῆρκει ἄν σοι ἐῤῥιφέναι τὴν ἀσπίδα λέγοντι, οὐδέν σοι μέλει; οὐδὲ γὰρ τὸ αὐτό ἐστι ῥίψαι καὶ ἀποβεβληκέναι· ἀλλ' οὐδ' ἂν τῶν ἕνδεκα γενόμενος, ἀποδέξαιο, εἴ τις ἀπάγοι τινά, φάσκων θοιμάτιον ἀποδεδύσθαι, ἢ τὸν χιτωνίσκον ἐκδεδύσθαι· ἀλλ' ἀφίεις ἂν τὸν αὐτὸν τρόπον, ὅτι οὐ λωποδύτης ὀνομάζεται. οὐδ' εἴ τις παῖδα ἐξαγαγὼν ληφθείη, οὐκ ἂν φάσκοις αὐτὸν ἀνδραποδιστὴν εἶναι· εἰπέρ μάχῃ τοῖς ὀνόμασιν, ἀλλὰ μὴ τοῖς ἔργοις τὸν νοῦν προσέχεις, ὧν ἕνεκα τὰ ὀνόματα πάντες τίθενται. ἔτι τοίνυν σκέψασθε, ὦ ἄνδρες δικασταί· οὑτοσὶ γάρ μοι δοκεῖ ὑπὸ ῥᾳθυμίας καὶ μαλακίας οὐδ' εἰς Ἄρειον πάγον ἀναβεβηκέναι. πάντες γὰρ ἐπίστασθε, ὅτι ἐν ἐκείνῳ τῷ χωρίῳ, ὅταν τὰς τοῦ φόνου δίκας δικάζωνται, οὐ διὰ τοῦτον τοῦ ὀνόματος τὰς διωμοσίας ποιοῦνται, ἀλλὰ δι' οὗπερ ἐγὼ κακῶς ἀκήκοα. ὁ μὲν γὰρ διώκων, ὡς ἔκτεινε, διόμνυται· ὁ δὲ φεύγων, ὡς οὐκ ἔκτεινεν. οὐκοῦν ἄτοπον ἂν εἴη τὸν δόξαντα κτεῖναι ἀποφεύγειν, φάσκοντα ἀνδροφόνον εἶναι, ὅτι ὁ διώκων, ὡς ἔκτεινε, τὸν φεύγοντα διωμόσατο. τί γὰρ ταῦτα, ὧν οὗτος ἐρεῖ, διαφέρει; καὶ αὐτὸς μὲν Θέωνι κακηγορίας ἐδικάσω, εἰπόντι σὲ ἐῤῥιφέναι τὴν ἀσπίδα. καίτοι περὶ μὲν τοῦ ῥίψαι οὐδὲν τῷ νόμῳ εἴρηται. ἐὰν δέ τις εἴπῃ ἀποβεβληκέναι τὴν ἀσπίδα, πεντακοσίας δραχμὰς ὀφείλειν κελεύει. οὐκοῦν δεινόν, ἐὰν μέν σε, κακῶς ἀκούσαντα, τοὺς ἐχθροὺς τιμωρεῖσθαι,

τοὺς νόμους, ὥσπερ ἐγὼ νῦν, ἐκλαμβάνειν
ἂν δ' ἕτερον παρὰ τοὺς νόμους εἴπῃς κακῶς, οὐκ
ξιοῦν δοῦναι δίκην. πότερον οὕτω σὺ δεινὸς εἶ
ιστε, ὅπως ἂν βούλῃ, οἷός τ' εἶ χρῆσθαι τοῖς νό-
μοις; ἢ τοσοῦτον δύνασαι, ὥστε οὐδέποτε οἷεί τοὺς
ἀδικουμένους ὑπὸ σοῦ τιμωρίας τεύξεσθαι; εἶτ' οὐκ
αἰσχύνῃ οὕτως ἀνοήτως διακείμενος, ὥστε οὐκ ἐξ ὧν
εὖ πεποίηκας τὴν πόλιν, ἀλλ' ἐξ ὧν ἀδικῶν οὐ δέ-
δωκας δίκην, οἴει δεῖν πλεονεκτεῖν; καίτοι ἀνάγνω-
θι τὸν νόμον. ΝΟΜΟΣ. Ἐγὼ τοίνυν, ὦ ἄνδρες
δικασταί, ὑμᾶς μὲν πάντας εἰδέναι ἡγοῦμαι, ὅτι
ἐγὼ μὲν ὀρθῶς λέγω, τοῦτον δὲ οὕτω σκαιὸν εἶναι,
ὥστε οὐ δύνασθαι μαθεῖν τὰ λεγόμενα. βούλομαι
οὖν αὐτὸν καὶ ἐξ ἑτέρων νόμων περὶ τούτων διδά-
ξαι· ἆρ' πως ἄλλα νῦν γ' ἐπὶ τοῦ βήματος παιδευ-
θῇ, καὶ τὸ λοιπὸν ἡμῖν μὴ παρέχῃ πράγματα. κα
μοι ἀνάγνωθι τούτους τοὺς νόμους τοῦ Σόλων
τοὺς παλαιούς. ΝΟΜΟΣ. Διδέσθαι δ' ἐν τῇ π
δοκάκκῃ ἡμέρας πέντε τὸν πόδα, ἐὰν μὴ προστι
σῃ ἡ ἡλιαία. ἡ ποδοκάκκη αὕτη ἐστὶν, ὦ Θεό
στε, ὃ νῦν καλεῖται ἐν τῷ ξύλῳ δεδέσθαι. εἰ ο
δεθεὶς ἐξελθὼν, ἐν ταῖς εὐθύναις τῶν ἕνδεκα
γοροίη, ὅτι οὐκ ἐν τῇ ποδοκάκκῃ ἐδέδετο, ἀ
τῷ ξύλῳ, οὐκ ἂν ἠλίθιον αὐτὸν νομίζοιεν; Ἀλ
ρον νόμον. ΝΟΜΟΣ. Ἐπεγγυᾶν δ' ἐπιο
τα τὸν Ἀπόλλω. δεδιότα δὲ δίκης ἕνεκα δρα
τούτων τὸ μὲν ἐπιορκήσαντα, ὁμόσαι ἐστὶ
δρασκάζειν, ὃ νῦν ἀποδιδράσκειν ὀνομάζομ
δὲ ἀπειλλῃ τῇ θύρᾳ, ἔνδον τοῦ κλέπτου δ

ἀπείλλειν τὸ ἀποκλείειν νομίζεται, καὶ μηδὲν διὰ τοῦτο διαφέρον. τὸ ἀργύριον στάσιμον εἶναι, ἐφ' ὁπόσῳ ἂν βούληται ὁ δανείζων. τὸ στάσιμον τοῦτό ἐστιν, ὦ βέλτιστε, οὐ ζυγῷ ἱστάναι, ἀλλὰ τόκον πράττεσθαι ὁπόσον ἂν βούληται. ἐπαναγνωθι τουτουΐ τοῦ νόμου τὸ τελευταῖον· ὅσαι δὲ πεφασμένως πωλοῦνται, καὶ οἰκῆος καὶ βλάβης τὴν δούλην εἶναι ὀφείλειν. προσέχετε τὸν νοῦν. τὸ μὲν πεφασμένως, ἐστὶ φανερῶς· πωλεῖσθαι δὲ, βαδίζειν. τὸ δὲ οἰκῆος, θεράποντος. πολλὰ δὲ τοιαῦτα καὶ ἄλλα ἐστὶν, ὦ ἄνδρες δικασταί. ἀλλ' εἰ μὴ σιδηροῦς ἐστὶν, οἶομαι αὐτὸν ἔννουν γεγονέναι, ὅτι τὰ μὲν πράγματα ταὐτά ἐστι νῦν τε καὶ πάλαι· τῶν δὲ ὀνομάτων ἐνίοις οὐ τοῖς αὐτοῖς χρώμεθα νῦν καὶ πρότερον. δηλώσει δέ. οἰχήσεται γὰρ ἀπιὼν ἀπὸ τοῦ βήματος σωπῇ. εἰ δὲ μὴ, δέομαι ὑμῶν, ὦ ἄνδρες δικασταὶ, τὰ δίκαια ψηφίσασθαι, ἐνθυμουμένους, ὅτι πολὺ μεῖζον κακόν ἐστιν, ἀκούσαντα τὸν πατέρα ἀποβεβληκέναι. ἐγὼ γοῦν δεξαίμην ἂν πάσας τὰς ἀσπίδας ἐρῤῥιφέναι, ἢ τοιαύτην γνώμην ἔχειν περὶ τὸν πατέρα. οὗτος οὖν ἔνοχος μὲν ὢν τῇ αἰτίᾳ, ἐλάττονος δὲ οὔσης αὐτῷ τῆς συμφορᾶς, οὐ μόνον ὑφ' ὑμῶν ἠλεήθη, ἀλλὰ καὶ τὸν μαρτυρήσαντα ἠτίμωσεν. ἐγὼ δὲ ἐωρακὼς μὲν ἐκεῖνο τοῦτον ποιήσαντα, ὃ καὶ ὑμεῖς ἴστε, αὐτὸς δὲ σώσας τὴν ἀσπίδα, ἀκηκοὼς δὲ οὕτως ἄνομον καὶ δεινὸν πρᾶγμα, μεγίστης δὲ οὔσης μοι τῆς συμφορᾶς, εἰ ἀποφεύξεται, τούτῳ δ' οὐδενὸς ἀξίας, εἰ κακηγορίας ἁλώσεται· οὐκ ἄρα δίκην παρ' αὐτοῦ λήψομαι; τίνος ὄντος ἐμοὶ πρὸς

ὑμᾶς ἐγκλήματος; πότερον, ὅτι δικαίως ἀκήκοα; ἀλλ' οὐδ' ἂν αὐτοὶ φήσαιτε. ἀλλ' ὅτι βελτίων καὶ ἐκ βελτιόνων ὁ φεύγων ἐμοῦ; ἀλλ' οὐδ' ἂν αὐτὸς ἀξιώσειεν. ἀλλ' ὅτι ἀποβεβληκὼς τὰ ὅπλα δικάζομαι κακηγορίας τῷ σώσαντι; ἀλλ' οὐχ οὗτος ὁ λόγος ἐν τῇ πόλει κατεσκέδασται. ἀναμνήσθητε δὲ, ὅτι μεγάλην καὶ καλὴν ἐκείνην δωρεὰν αὐτῷ δεδώκατε· ἐν ᾗ τίς οὐκ ἂν ἐλεήσειεν Διονύσιον, τοιαύτῃ μὲν συμφορᾷ περιπεπτωκότα, ἄνδρα δὲ ἄριστον ἐν τοῖς κινδύνοις γεγενημένον· ἀπιόντα δὲ ἀπὸ τοῦ δικαστηρίου, καὶ λέγοντα, ὅτι δυστυχεστάτην ἐκείνην εἴημεν στρατείαν ἐστρατευμένοι, ἐν ᾗ πολλοὶ μὲν ἡμῶν ἀπέθανον, οἱ δὲ σώσαντες τὰ ὅπλα ὑπὸ τῶν ἀποβαλόντων ψευδομαρτυριῶν ἁλώκασι, κρεῖττον δὲ ἦν αὐτῷ τότε ἀποθανεῖν, ἢ οἴκαδ' ἐλθόντι τοιαύτῃ τύχῃ χρῆσθαι. μὴ τοίνυν ἀκούσαντα Θεόμνηστον κακῶς τὰ προσήκοντα ἐλεεῖτε, καὶ ὑβρίζοντι καὶ λέγοντι παρὰ τοὺς νόμους συγγνώμην ἔχετε. τίς γὰρ ἂν ἐμοὶ μείζων ταύτης γένοιτο συμφορὰ, περὶ τοιούτου πατρὸς οὕτως αἰσχρὰν αἰτίαν ἀκηκοότι; ὃς πολλάκις μὲν ἐστρατήγησε, πολλοὺς δὲ καὶ ἄλλους κινδύνους μεθ' ὑμῶν ἐκινδύνευσε· καὶ οὔτε τοῖς πολεμίοις τὸ ἐκείνου σῶμα ὑποχείριον ἐγένετο, οὔτε τοῖς πολίταις οὐδεμίαν πώποτε ὤφλεν εὐθύνην· ἔτη δὲ γεγονὼς ἑπτὰ καὶ ἑξήκοντα, ἐν ὀλιγαρχίᾳ, δι' εὔνοιαν τοῦ ὑμετέρου πλήθους ἀπέθανεν, ἀφ' ἄξιον ὀργισθῆναι τῷ εἰρηκότι, καὶ βοηθῆσαι τῷ πατρὶ, ὡς καὶ ἐκείνου κακῶς ἀκηκοότος; τί γὰρ ἂν τούτου ἀνιαρότερον γένοιτο αὐτῷ, ἢ τεθνάναι μὲν

ῶν ἐχθρῶν, αἰτίαν δ' ἔχειν ὑπὸ τῶν παίδων·
καὶ νῦν, ὦ ἄνδρες δικασταὶ, τῆς ἀρετῆς τὰ
ία πρὸς τοῖς ὑμετέροις ἀνάκειται· τὰ δὲ τού-
ὶ τοῦ τούτου πατρὸς τῆς κακίας, πρὸς τοῖς
ολεμίων; οὕτω σύμφυτος αὐτοῖς ἡ δειλία. καὶ
}, ὦ ἄνδρες δικασταὶ, ὅσῳ μείζους εἰσὶ, καὶ
ι τὰς ὄψεις, τοσούτῳ μᾶλλον ὀργῆς ἀξιοί εἰσι.
γὰρ, ὅτι τοῖς μὲν σώμασι δύνανται, τὰς δὲ
οὐκ ἔχουσιν. ἀκούω δ' αὐτὸν, ὦ ἄνδρες δι-
ὶ, ἐπὶ τοῦτον τὸν λόγον τρέπεσθαι, ὡς ὀργι-
εἴρηκε ταῦτα, ἐμοῦ μαρτυρήσαντος τὴν αὐτὴν
ρίαν Διονυσίῳ. ὑμεῖς δ' ἐνθυμεῖσθε, ὦ ἄν-
ικασταὶ, ὅτι ὁ νομοθέτης οὐδεμιᾷ ὀργῇ συγ-
ν δίδωσιν, ἀλλὰ ζημιοῖ τὸν λέγοντα, ἐὰν μη
ίνῃ, ὡς ἐστιν ἀληθῆ τὰ εἰρημένα. ἐγὼ δὲ δὶς
ρὶ τούτου μεμαρτύρηκα. οὐ γὰρ πω ᾔδειν,
εἷς τοὺς μὲν ἰδόντας τιμωρεῖσθε, τοῖς δὲ ἀπο
υσι συγγνώμην ἔχετε. περὶ μὲν οὖν τούτων
δ', ὅτι δεῖ πλείω λέγειν. ἐγὼ δὲ ὑμῶν δέομαι
ηφίσασθαι Θεομνήστου, ἐνθυμουμένους, ὅτι
' γένοιτο τούτου μείζων ἀγὼν μοι. νῦν γὰρ
κακηγορίας, τῇ δ' αὐτῇ ψήφῳ φόνου φεύγω
τρός· ὃς μόνος, ἐπειδὴ τάχιστα ἐδοκιμάσθην,
θον τοῖς τριάκοντα ἐν Ἀρείῳ πάγῳ. ὧν με-
οι καὶ ἐμοὶ καὶ τῷ πατρὶ βοηθήσατε, καὶ
ίμοις τοῖς κειμένοις, καὶ τοῖς ὅρκοις, οἷς ὀμω-
ι.

ΛΥΣΙΟΥ

ΚΑΤΑ ΘΕΟΜΝΗΣΤΟΥ ΔΕΥΤΕΡΟΣ.

Ὅτι μὲν τὸν πατέρα μ᾽ ἔφασκεν ἀπεκτονέναι, πολλοὶ συνοίδασιν ὑμῶν, καὶ μαρτυροῦσι δέ μοι· ὅτι δὲ οὐ πεποίηκα, ἔτη γάρ ἐστί μοι δύο καὶ τριάκοντα· ἐξ οὗ δ᾽ ὑμεῖς κατήλθετε, εἰκοστὸν τουτί. φαίνομαι οὖν δωδεκαέτης ὤν, ὅτε ὁ πατὴρ ὑπὸ τῶν τριάκοντα ἀπέθνησκεν, ὥστ᾽ οὐδ᾽ ὅ, τι ὀλιγαρχία ἦν ᾔδειν, οὐδὲ τῷ πατρὶ βοηθεῖν οἷός τε ἦν. ἀλλὰ μὴν οὐδὲ τῶν χρημάτων ἕνεκα ἐπεβούλευσα αὐτῷ. ὁ γὰρ πρεσβύτερος ἀδελφὸς πάντα λαβὼν ἀπεστέρησεν ἡμᾶς. ὅσως δ᾽ ἐρεῖ, ὡς οὐκ ἔστι τῶν ἀποφήτων, ἐάν τις εἴπῃ τὸν πατέρα ἀπεκτονέναι· τὸν γὰρ νόμον οὐ ταῦτ᾽ ἀπαγορεύειν, ἀλλ᾽ ἀνδροφόνον οὐκ ἐᾶν λέγειν· ἐγὼ δ᾽ οἶμαι δεῖν οὐ περὶ τῶν ὀνομάτων διαφέρεσθαι, ἀλλὰ περὶ τῆς τῶν ἔργων διανοίας, καὶ πάντας εἰδέναι, ὅτι ὁπόσοι ἀπεκτόνασί τινας, καὶ ἀνδροφονοι τῶν αὐτῶν εἰσι· καὶ ὅσοι ἀνδροφόνοι τινός, καὶ ἀπεκτόνασι τουτονί. πολὺ γὰρ ἂν ἔργον εἴη τῷ νομοθέτῃ πάντα γράφειν τὰ ὀνόματα, ὅσα τὴν αὐτὴν δύναμιν ἔχει. ἀλλὰ περὶ ἑνὸς εἰπὼν, περὶ πάντων ἐδήλωσεν. οὐ γάρ δή που ἐὰν μέν τις πα-

τραλοίαν ἢ μετραλοίαν καλέσῃ, ὑπόδικός ἐστιν. ἐὰν δέ τις τὴν τεκοῦσαν ἢ τὸν φυτεύσαντα τύπτοι, ἄζημιος ἔσται. καὶ εἴ τις εἴπῃ ῥίψασπιν, ἀθῷος ἔσται. τὸν γὰρ νόμον, ἐάν τις εἴπῃ τὴν ἀσπίδα ἀποβεβληκέναι, ζημίαν τάττειν, ἀλλ' οὐκ ἄν τις ῥίψαι φῇ αὐτήν. ὁμοίως δ' ἂν καὶ τῶν ἕνδεκα γενόμενος, οὐκ ἂν ἀπεδέχου τὸν ἀπαγόμενον, ὅτι θοιμάτιον ἔξω θέμενος ἢ τὸν χιτωνίσκον, εἰ μὴ λωποδύτην ὠνόμαζεν. εἰ μή τις παῖδ' ἐξῆγεν ὡς ἀνδραποδιστήν. καὶ αὐτὸς μὲν ἐδικάσω κακηγορίας τῷ εἰπόντι σε ῥίψαι τὴν ἀσπίδα. καίτοι ἐν τῷ νόμῳ οὐ γέγραπται, ἀλλ', ἐάν τις φῇ ἀποβεβληκέναι. πῶς οὖν οὐ δεινόν, ἐὰν μή τίς γε εἴπῃ τοὺς νόμους ἐκλαμβάνειν οὕτως, ὥσπερ ἐγὼ νῦν, καὶ τιμωρεῖν τοὺς ἐχθρούς. ἐὰν δὲ αὐτὸς εἴπῃς, οὐκ ἄξιον δοῦναι δίκην. βοηθήσατε οὖν μοι, ἐνθυμούμενοι, ὅτι μεῖζόν ἐστι κακὸν τὸν πατέρα ἀπεκτονέναι, ἢ τὴν ἀσπίδα ῥίψαι. ἐγὼ οὖν ἐξαίμην πάσας ἀποβεβληκέναι, ἢ τοιαύτην γνώμην περὶ τὸν πατέρα ἔχειν. καί γε τοῦτον μὲν ἑώρακα ποιοῦντα, ὡς καὶ ὑμεῖς ἴστε· αὐτὸς δ' ἔσωσα τὴν ἀσπίδα. ὥστε διὰ τί οὐκ ἄν λάβοιμι δίκην παρ' αὐτοῦ; τίνος ἐγκλήματός μοι ὄντος; πότερον ὡς δικαίως ἤκουσα; ἀλλ' οὐδ' ἂν αὐτοὶ φήσαιτε. ἀλλ' ὡς βελτίονος ὄντος; ἀλλ' οὐδ' ἂν αὐτὸς ἀξιώσειεν. ἀλλ' ὅτι ἀποβεβληκὼς τὰ ὅπλα σώσαντι δικάζομαι; ἀλλ' οὐχ οὗτος ὁ λόγος διέσπαρται κατὰ τὴν πόλιν. μὴ δὴ κακῶς ἀκούοντα τὰ προσήκοντα ἐλεεῖτε, μηδ' ὑβρίζοντί τε καὶ λέγοντι παρὰ τοὺς νόμους, συγγνώμην ἔχετε. καὶ ταῦτα, εἰς ἄνδρα, ὃς πολλὰς μὲν

στρατηγίας ἐστρατήγηκε, πολλὰς δὲ μεθ' ὑμῶν κε-
κινδύνευκε· καὶ οὔτε τοῖς πολεμίοις ὑποχείριος γέ-
γονεν, οὔθ' ὑμῖν εὐθυναν ὤφλεν· ἑβδομήκοντα δ'
ἐτῶν ὢν ὑπὲ ὀλιγαρχίας ἐτελεύτησε, διὰ τὴν ὑμετέ-
ραν εὔνοιαν. ἄξιον δὲ ὀργισθῆναι ὑπὲρ αὐτοῦ. τι
γὰρ ἂν τούτου ἀνιαρότερον ἀκούσειεν, εἰ τεθνηκὼς
ὑπὸ τῶν ἐχθρῶν, αἰτίαν ἔχοι ὑπὸ τῶν τέκνων ἄγη-
ρῆσθαι, οὐ τῆς ἀρετῆς τὰ μνημεῖα πρὸς τοῖς ὑμε-
τέροις ἱεροῖς ἀνάκειται· τῆς δὲ τούτων κακίας, πρὸς
τοῖς τῶν πολεμίων; ἐρεῖ δὲ, ὡς ὀργισθεὶς εἴρηκεν.
ὑμεῖς δ' ἐνθυμεῖσθε, ὅτι ὁ νομοθέτης οὐδεμίαν
συγγνώμην ὀργῇ δίδωσιν, ἀλλὰ ζημιοῖ τὸν λέγον-
τα, ἐὰν μὴ ἀποδεικνύῃ ἀληθῆ. ἐγὼ δὲ δὶς περὶ τού-
του μεμαρτύρηκα· οὐ γὰρ ᾔδειν, ὅτι ὑμεῖς τοὺς μὲν
ἰδόντας τιμωρεῖσθε, τοῖς δὲ ἀποβάλλουσι συγγνώ-
μην ἔχετε. δέομαι οὖν καταψηφίσασθαι αὐτοῦ.
νυνὶ γὰρ διώκω μὲν κακηγορίας, τῇ δ' αὐτῇ ψήφῳ
φόνου φεύγω τοῦ πατρός. οὗ μείζων ἀγὼν οὐκ ἂν
γένοιτό μοι, ὃς μόνος δοκιμασθεὶς τοῖς τριάκοντ'
ἐπεξῆλθον ἐν Ἀρείῳ πάγῳ. βοηθήσατ' οὖν κἀμοὶ
νῦ, κἀμοί.

ΛΥΣΙΟΥ

ΚΑΤΑ ΕΡΑΤΟΣΘΕΝΟΥΣ, ΤΟΥ ΓΕΝΟΜΕΝΟΥ ΤΩΝ ΤΡΙΑΚΟΝΤΑ, ΟΝ ΑΥΤΟΣ ΕΙΠΕ ΛΥΣΙΑΣ.

Οὐκ ἄρξασθαί μοι δοκεῖ ἄπορον εἶναι, ὦ ἄνδρες δικασταὶ, τῆς κατηγορίας, ἀλλὰ παύσασθαι λέγοντι. τοιαῦτα αὐτοῖς τὸ μέγεθος καὶ τοσαῦτα τὸ πλῆθος εἴργασται, ὥστε μήτ' ἂν ψευδόμενον δεινότερα τῶν ὑπαρχόντων κατηγορῆσαι, μήτε τἀληθῆ βουλόμενον εἰπεῖν, ἅπαντα δύνασθαι· ἀλλ' ἀνάγκη ἢ τὸν κατήγορον ἀπειπεῖν, ἢ τὸν χρόνον ἐπιλιπεῖν. τοὐναντίον δέ μοι δοκοῦμεν πείσεσθαι ἢ ἐν τῷ προτοῦ χρόνῳ. πρότερον μὲν γὰρ ἔδει τὴν ἔχθραν τοὺς κατηγοροῦντας ἐπιδεῖξαι, ἥτις εἴη πρὸς τοὺς φεύγοντας· νυνὶ δὲ παρὰ τῶν φευγόντων χρὴ πυνθάνεσθαι, ἥτις ἦν αὐτοῖς πρὸς τὴν πόλιν ἔχθρα, ἀνθ' ὅτου τοιαῦτα ἐτόλμησαν εἰς αὐτὴν ἐξαμαρτάνειν. οὐ μέντοι ὡς οὐκ ἔχων οἰκείας ἔχθρας καὶ συμφορὰς, τοὺς λόγους ποιοῦμαι, ἀλλ' ὡς ἅπασι πολλῆς ἀφθονίας οὔσης ὑπὲρ τῶν ἰδίων, ἢ ὑπὲρ τῶν δημοσίων ὀργίζεσθαι. ἐγὼ μὲν οὖν, ὦ ἄνδρες δικασταὶ, οὔτ' ἐμαυτοῦ πώποτε, οὔτε ἀλλότρια πράγματα πρᾶξας, ὧν ἠνάγκασμαι ὑπὸ τῶν γεγενημένων τούτου κατη-

γορεῖν· ὥστε πολλάκις εἰς πολλὴν ἀθυμίαν κατ
στην, μὴ διὰ τὴν ἀπειρίαν ἀναξίως καὶ ἀδυνάτ
ὑπὲρ τοῦ ἀδελφοῦ καὶ ἐμαυτοῦ τὴν κατηγορίαν πο
ήσωμαι. ὅμως δὲ πειράσομαι ὑμᾶς ἐξ ἀρχῆς ὡς ἐ
δύνωμαι δι' ἐλαχίστων διδάξαι. Οὑμὸς πατὴρ Κ
φαλος ἐπείσθη μὲν ὑπὸ Περικλέους εἰς ταὐτην τ
γῆν ἀφικέσθαι· ἔτη δὲ τριάκοντα ᾤκησε, καὶ οὐδε
πώποτε οὔτε ἡμεῖς οὔτε ἐκεῖνος δίκην οὔτε ἐδικασ
μεθα, οὔτε ἐφύγομεν· ἀλλ' οὕτως ᾠκοῦμεν δημ
κρατούμενοι, ὥστε μήτε εἰς τοὺς ἄλλους ἐξαμαρτ
νειν, μήτε ὑπὸ τῶν ἄλλων ἀδικεῖσθαι. ἐπειδὴ δ' ἐ
τριάκοντα, πονηροὶ μὲν καὶ συκοφάνται ὄντες, ἐ
τὴν ἀρχὴν κατέστησαν, φάσκοντες χρῆναι τῶν ἀδ
κων καθαρὰν ποιῆσαι τὴν πόλιν, καὶ τοὺς λοιπο
πολίτας ἐπ' ἀρετὴν καὶ δικαιοσύνην τραπέσθαι· κ
τοιαῦτα λέγοντες, οὐ τοιαῦτα ποιεῖν ἐτόλμων· ἐ
ἐγὼ περὶ τῶν ἐμαυτοῦ πρῶτον εἰπὼν, καὶ περὶ τ
ὑμετέρων ἀναμνῆσαι πειράσομαι. Θέογνις γὰρ κ
Πείσων ἔλεγον ἐν τοῖς τριάκοντα περὶ τῶν μετοίκω
ὡς εἰέν τινες τῇ πολιτείᾳ ἀχθόμενοι· καλλίστην οἱ
εἶναι πρόφασιν τιμωρεῖσθαι μὲν δοκεῖν, τῷ δ' ἔρ
χρηματίζεσθαι· πάντως δὲ τὴν μὲν πόλιν γενέσθ
τὴν ἀρχὴν δεῖσθαι χρημάτων. καὶ τοὺς ἀκούοντα
οὐ χαλεπῶς ἔπειθον. ἀποκτιννύναι μὲν γὰρ ἀνθρ
πους, περὶ οὐδενὸς ἡγοῦντο· λαμβάνειν δὲ χρήμ
τα, περὶ πολλοῦ ἐποιοῦντο. ἔδοξεν οὖν αὐτοῖς δέ
συλλαβεῖν· τούτων δὲ δύο πένητας, ἵνα αὐτοῖς
πρὸς τοὺς ἄλλους ἀπολογία, ὡς οὐ χρημάτων οὕνε
ταῦτα πέπρακται, ἀλλὰ συμφέροντα τῇ πολιτ

γεγένηται· ὥσπερ τι τῶν ἄλλων εὐλόγως πεποιηκότες. διαλαβόντες δὲ τὰς οἰκίας, ἐβάδιζον· καὶ ἐμὲ μὲν ξένους ἐστιῶντα κατέλαβον, οὓς ἐξελάσαντες Πείσωνί με παραδιδόασιν· οἱ δὲ ἄλλοι εἰς τὸ ἐργαστήριον ἐλθόντες, τὰ ἀνδράποδα ἀπεγράφοντο. ἐγὼ δὲ Πείσωνα μὲν ἠρώτων, εἰ βούλοιτό με σῶσαι χρήματα λαβών· ὁ δ' ἔφασκεν, εἰ πολλὰ εἴη. εἶπον οὖν, ὅτι τάλαντον ἀργυρίου ἕτοιμος εἴην δοῦναι. ὁ δ' ὡμολόγησε ταῦτα ποιήσειν. ἠπιστάμην μὲν οὖν, ὅτι οὔτε θεοὺς οὔτε ἀνθρώπους νομίζει, ὅμως δ' ἐκ τῶν παρόντων ἐδόκει μοι ἀναγκαιότατον εἶναι πίστιν παρ' αὐτοῦ λαβεῖν· ἐπειδὴ δὲ ὤμοσεν ἐξώλειαν ἑαυτῷ καὶ τοῖς παισὶν ἐπαρώμενος, λαβὼν τὸ τάλαντόν με σώσειν, εἰσελθὼν εἰς τὸ δωμάτιον τὴν κιβωτὸν ἀνοίγνυμι, Πείσων δ' αἰσθόμενος εἰσέρχεται, καὶ ἰδὼν τὰ ἐνόντα, καλεῖ τῶν ὑπηρετῶν δύο, καὶ τὰ ἐν τῇ κιβωτῷ λαβεῖν ἐκέλευσεν. ἐπεὶ δὲ οὐχ ὅσον ὡμολογήκειν εἶχεν, ὦ ἄνδρες δικασταὶ, ἀλλὰ τρία τάλαντα ἀργυρίου καὶ τετρακοσίους κυζικηνοὺς, καὶ ἑκατὸν δαρεικοὺς, καὶ φιάλας ἀργυρίου τέσσαρας, ἐδεόμην αὐτοῦ ἐφόδιά μοι δοῦναι. ὁ δ' ἀγανήσειν με ἔφασκεν, εἰ τὸ σῶμα σώσω. ἐξιοῦσι δέ μοι καὶ Πείσωνι ἐπιτυγχάνει Μηλόβιός τε καὶ Μνησιθείδης ἐκ τοῦ ἐργαστηρίου ἀπιόντες· καὶ κατα λαμβάνουσι πρὸς αὐταῖς ταῖς θύραις, καὶ ἐρωτῶσιν, ὅπη βαδίζοιμεν. ὁ δ' ἔφασκεν, εἰς τὰ τοῦ ἀδελφοῦ τοῦ ἐμοῦ, ἵνα καὶ τὰ ἐν ἐκείνῃ τῇ οἰκίᾳ σκέψηται. ἐκεῖνον μὲν οὖν ἐκέλευον βαδίζειν, ἐμὲ δὲ μεθ' αὐτῶν ἀκολουθεῖν εἰς Δαμνίππου. Πείσων δὲ προσελ-

θὼν σιγᾷν με παρεκελεύετο, καὶ θαῤῥεῖν, ὡς ἥξων ἐκεῖσε. καταλαμβάνομεν δὲ αὐτόθι Θέογνιν ἕτερους φυλάττοντα· ᾧ παραδύντες ἐμὲ πάλιν ᾤχοντο. ἐν τοιούτῳ δ' ὄντι μοι κινδυνεύειν ἐδόκει, ὡς τοῦ γε ἀποθανεῖν ὑπάρχοντος ἤδη. καλέσας δὲ Δάμνιππον, λέγω πρὸς αὐτὸν τάδε, „Ἐπιτήδειος μέν μοι τυγχάνεις ὤν, ἧκω δ' εἰς τὴν σὴν οἰκίαν· ἀδικῶ δ' οὐδέν· χρημάτων δ' ἕνεκα ἀπόλλυμαι. σὺ οὖν ταῦτα πάσχοντί μοι πρόθυμον παράσχου τὴν σεαυτοῦ δύναμιν εἰς τὴν ἐμὴν σωτηρίαν." ὁ δ' ὑπέσχετο ταῦτα ποιήσειν. ἐδόκει δ' αὐτῷ βέλτιον εἶναι πρὸς Θέογνιν μνησθῆναι· ἠγεῖτο γὰρ ἅπαν ποιήσειν αὐτόν, εἴ τις ἀργύριον διδοίη. ἐκείνου δὲ διαλεγομένου Θεόγνιδι, (ἔμπειρος γὰρ ὢν ἐτύγχανον τῆς οἰκίας, καὶ ᾔδειν, ὅτι ἀμφίθυρος εἴη) ἐδόκει μοι ταύτῃ πειρᾶσθαι σωθῆναι· ἐνθυμουμένῳ, ὅτι, ἐὰν μὲν λάθω, σωθήσομαι· ἐὰν δὲ ληφθῶ, ἡγούμην μὲν, εἰ Θέογνις εἴη πεπεισμένος ὑπὸ τοῦ Δαμνίππου χρήματα λαβεῖν, οὐδὲν ἧττον ἀφεθήσεσθαι· εἰ δὲ μή, ὁμοίως ἀποθανεῖσθαι. ταῦτα διανοηθεὶς, ἔφευγον, ἐκείνων ἐπὶ τῇ αὐλείῳ θύρᾳ τὴν φυλακὴν ποιουμένων· τριῶν δὲ θυρῶν οὐσῶν, ἃς ἔδει με διελθεῖν, ἅπασαι ἀνεῳγμέναι ἔτυχον. ἀφικόμενος δὲ εἰς Ἀρχένεω τοῦ ναυκλήρου, ἐκεῖνον πέμπω εἰς ἄστυ, πευσόμενον περὶ τοῦ ἀδελφοῦ. ἧκων δὲ ἔλεγεν, ὅτι Ἐρατοσθένης αὐτὸν ἐν τῇ ὁδῷ λαβὼν, εἰς τὸ δεσμωτήριον ἀπαγάγοι. καὶ ἐγὼ τοιαῦτα πεπυσμένος, τῆς ἐπιούσης νυκτὸς διέπλευσα Μεγάραδε. Πολεμάρχῳ δὲ παρήγγειλαν οἱ τριάκοντα τὸ ἐπ' ἐκείνων εἰθισμένον

παράγγελμα, πίνειν κώνειον, πρὶν τὴν αἰτίαν εἰπεῖν, δι' ἥντινα ἔμελλεν ἀποθανεῖσθαι· οὕτω πολλοῦ ἐδέησε κριθῆναι, καὶ ἀπολογήσασθαι. καὶ ἐπειδὴ ἀπεφέρετο ἐκ τοῦ δεσμωτηρίου τεθνεώς, τριῶν ἡμῖν οἰκιῶν οὐσῶν, οὐδεμιᾶς εἴασαν ἐξενεχθῆναι, ἀλλὰ κλίσιον μισθωσάμενοι, προὔθεντο αὐτόν. καὶ πολλῶν ὄντων ἱματίων, αἰτοῦσιν οὐδὲν ἔδοσαν εἰς ταφὴν, ἀλλὰ τῶν φίλων ὁ μὲν ἱμάτιον, ὁ δὲ προσκεφάλαιον, ὁ δὲ ὅ, τι ἕκαστος ἔτυχεν, ἔδωκεν εἰς τὴν ἐκείνου ταφήν. καὶ ἔχοντες μὲν ἑπτακοσίας ἀσπίδας τῶν ἡμετέρων, ἔχοντες δὲ ἀργύριον καὶ χρυσίον τοσοῦτον, χαλκὸν δὲ καὶ κόσμον, καὶ ἔτιπλα, καὶ ἱμάτια γυναικεῖα, ὅσα οὐδεπώποτε ᾤοντο κτήσασθαι, καὶ ἀνδράποδα εἴκοσι καὶ ἑκατὸν (ὧν τὰ μὲν βέλτιστα ἔλαβον, τὰ δὲ λοιπὰ εἰς τὸ δημόσιον ἀπέδοσαν) εἰς τοσαύτην ἀπληστίαν καὶ αἰσχροκέρδειαν ἀφίκοντο, καὶ τοῦ τρόπου τοῦ αὐτῶν ἀπόδειξιν ἐποιήσαντο. τῆς ἀρ Πολεμάρχου γυναικὸς χρυσοῦς ἑλικτῆρας, οὓς ουσα ἐτύγχανεν, ὅτε τοπρῶτον ἦλθεν εἰς τὴν οἰ-ν, Μηλόβιος ἐκ τῶν ὤτων ἐξείλετο. καὶ οὐδὲ κατὸ ἐλάχιστον μέρος τῆς οὐσίας ἐλέου παρ' αὐτῶν χάνομεν, ἀλλ' οὕτως εἰς ἡμᾶς διὰ τὰ χρήματα ἁρτανον, ὥσπερ ἂν ἕτεροι μεγάλων ἀδικημάτων ἔχοντες· οὐ τούτων ἀξίους γε ὄντας τῇ πόλει· πάσας τὰς χορηγίας χορηγήσαντας, πολλὰς δ' ὰς εἰσενεγκόντας, κοσμίους δ' ἡμᾶς αὐτοὺς ντας, καὶ πᾶν τὸ προσταττόμενον ποιοῦντας, δ' οὐδένα κεκτημένους, πολλοὺς δ' Ἀθη- τῶν πολεμίων λυσαμένους, τοιούτων ἠξίω-

σαν· οὐχ ὁμοίως μετοικοῦντας, ὥσπερ αὐτοὶ ἐπο
τεύοντο. οὗτοι γὰρ πολλοὺς μὲν τῶν πολιτῶν
τοὺς πολεμίους ἐξήλασαν, πολλοὺς δ' ἀδίκως ἀ
κτείναντες, ἀτάφους ἐποίησαν· πολλοὺς δ' ἐπι
μους ὄντας, ἀτίμους τῆς πόλεως κατέστησαν· π
λῶν δὲ θυγατέρας μελλούσας ἐκδίδοσθαι, ἐκώλυσ
καὶ εἰς τοσοῦτόν εἰσι τέλμης ἀφιγμένοι, ὥστ' ἤκ
σιν ἀπολογησόμενοι, καὶ λέγουσιν, ὡς οὐδὲν κα
οὐδ' αἰσχρὸν εἰργασμένοι εἰσίν· ἐγὼ δ' ἐβουλόμ
ἂν αὐτοὺς ἀληθῆ λέγειν. μετῆν γὰρ ἂν καὶ ἐ
τούτου τἀγαθοῦ οὐκ ἐλάχιστον μέρος. νῦν δὲ ο
πρὸς τὴν πόλιν αὐτοῖς τοιαῦτα ὑπάρχει, οὔτε π
ἐμέ. τὸν ἀδελφὸν γάρ μου (ὥσπερ καὶ πρότερον
που) Ἐρατοσθένης ἀπέκτεινεν, οὔτε αὐτὸς ἰδίᾳ ἀ
κούμενος, οὔτε εἰς τὴν πόλιν ὁρῶν ἐξαμαρτάνον
ἀλλὰ τῇ ἑαυτοῦ παρανομίᾳ προθύμως ἐξυπηρετ
ἀναβιβασάμενος δ' αὐτὸν βούλομαι ἔρεσθαι, ὦ ἄ
δρες δικασταί. τοιαύτην γὰρ γνώμην ἔχω· ἐπὶ μ
τῇ τούτου ὠφελείᾳ καὶ πρὸς ἕτερον περὶ τούτου δ
λέγεσθαι ἀσεβὲς εἶναι νομίζω, ἐπὶ δὲ τῇ τούτ
βλάβῃ, καὶ πρὸς αὐτὸν τοῦτον, ὅσιον καὶ εὐσεβ
ἀνάβηθι οὖν μοι καὶ ἀπόκριναι, εἴ τι ἄν σε ἔρω
Ἀπήγαγες Πολέμαρχον ἢ οὔ; Τὰ ὑπὸ τῶν ἀρχόντ
προσταχθέντα δεδιὼς ἐποίουν. Ἦσθα δ' ἐν τῷ βο
λευτηρίῳ, ὅτε οἱ λόγοι ἐγίνοντο περὶ ἡμῶν; Ἦ
Πότερον συνηγόρευες τοῖς κελεύουσιν ἀποκτεῖν
ἢ ἀντέλεγες; Ἀντέλεγον. Ἵνα ἀποθάνωμεν; Ἵνα
ἀποθάνητε. Ἡγούμενος ἡμᾶς ἄδικα πάσχειν ἢ
καια; Ἄδικα. Εἶτ', ὦ σχετλιώτατε πάντων, ἀντέ

PARSONS
99 Univers

γες μὲν, ἵνα σώσειας, συνελάμβανες δὲ, ἵνα ἀποκτείνοις; καὶ ὅτε μὲν τὸ πλῆθος ἦν ὑμῶν κύριον τῆς σωτηρίας τῆς ἡμετέρας, ἀντιλέγειν φῂς τοῖς βουλομένοις ἡμᾶς ἀπολέσαι· ἐπειδὴ δὲ ἐπὶ σοὶ μόνῳ ἐγένετο καὶ σῶσαι Πολέμαρχον καὶ μὴ, εἰς τὸ δεσμωτήριον ἀπήγαγες; εἶθ' ὅτι μὲν, ὡς φῂς, ἀντειπὼν, οὐδὲν ὠφέλησας, ἀξιοῖς χρηστὸς νομίζεσθαι· ὅτι δὲ συλλαβὼν ἀπέκτεινας, οὐκ οἴει ἐμοὶ καὶ τουτοισὶ δοῦναι δίκην; Καὶ μὴν οὐδὲ τοῦτο εἰκὸς αὐτῷ πιστεύειν, (εἴπερ ἀληθῆ λέγει φάσκων ἀντειπεῖν) ὡς αὐτῷ προσετάχθη. οὐ γὰρ δή που ἐν τοῖς μετοικοις πίστιν παρ' αὐτοῦ ἐλάμβανον. ἔπειτα τῷ ἧσσον εἰκὸς ἦν προσταχθῆναι, ἢ ὅστις ἀντειπών γε ἐτύγχανεν, καὶ γνώμην ἀποδεδειγμένος; τίνα γὰρ εἰκὸς ἦν ἧττον ταῦτα ὑπηρετῆσαι, ἢ τὸν ἀντειπόντα οἷς ἐκεῖνοι ἐβούλοντο πραχθῆναι; ἔτι δὲ τοῖς μὲν ἄλλοις Ἀθηναίοις ἱκανή μοι δοκεῖ πρόφασις εἶναι τῶν γεγενημένων, εἰς τοὺς τριάκοντα ἀναφέρειν τὴν αἰτίαν· αὐτοὺς δὲ τοὺς τριάκοντα, ἂν εἰς σφᾶς αὐτοὺς ἀναφέρωσι, πῶς ὑμῖς εἰκὸς ἀποδέχεσθαι; εἰ μὲν γάρ τις ἐν τῇ πόλει ἀρχὴ ἰσχυροτέρα αὐτῆς, ὑφ' ἧς αὐτῷ προσετάττετο παρὰ τὸ δίκαιον ἀνθρώπους ἀπολλύναι, ἴσως ἂν εἰκότως αὐτῷ συγγνώμην εἴχετε· νῦν δὲ παρὰ τοῦ ποτε καὶ λήψεσθε δίκην, εἴπερ ἐξέσται τοῖς τριάκοντα λέγειν, ὅτι τὰ ὑπὸ τῶν τριάκοντα προσταχθέντα ἐποίουν; καὶ μηδὲν δὴ οὐκ ἐν τῇ οἰκίᾳ, ἀλλ' ἐν τῇ ὁδῷ σώζοντα αὐτὸν, καὶ τὰ τούτοις ἐψηφισμένα, ὃν συλλαβὼν ἀπήγαγεν. ὑμεῖς δὲ πάντες ὀργίζεσθε, ὅσοι εἰς τὰς οἰκίας ἦλθον τὰς

ὑμετέρας, ζήτησιν ποιούμενοι ἢ ὑμῶν ἢ τῶν ὑμετ
ρων τινός. καίτοι εἰ χρὴ τούτοις, διὰ τὴν ἑαυτό
σωτηρίαν ἑτέρους ἀπολέσασι, συγγνώμην ἔχειν, ἐκε
νοις ἂν δικαιότερον ἔχοιτε. κίνδυνος γὰρ ἦν πε
φθεῖσι, μὴ ἐλθεῖν, καὶ καταλαβοῦσιν ἐξάρνοις γ
νέσθαι. τῷ δὲ Ἐρατοσθένει ἐξῆν εἰπεῖν, ὅτι οὐκ
πήκτησεν· ἔπειτα, ὅτι οὐκ οἶδεν. ταῦτα γὰρ οὔ
ἔλεγχον, οὔτε βάσανον εἶχεν· ὥστε μηδ' ὑπὸ τό
ἐχθρῶν βουλομένων οἷόν τε εἶναι ἐξελεγχθῆναι· χρ
δέ σε, ὦ Ἐρατόσθενες, εἴπερ ἠσθα χρηστὸς, πο
μᾶλλον τοῖς μέλλουσιν ἀδίκως ἀποθανεῖσθαι μην
τὴν γενέσθαι, ἢ τοὺς ἀδίκως ἀπολωλυμένους συλλα
βάνειν. νῦν δέ σαν τὰ ἔργα φανερὰ γεγένηται οὐ
ὡς ἀνιωμένου, ἀλλ' ὡς ἡδομένου τοῖς γιγνομένοι
ὥστε τούσδε ἐκ τῶν ἔργων χρὴ μᾶλλον, ἢ ἐκ τῶν λ
γων τὴν ψῆφον φέρειν, ἃ ἔσασι γεγενημένα, τό
τότε λεγομένων τεκμήρια λαμβάνοντας, ἐπειδὴ μά
τυρας περὶ αὐτῶν οὐχ οἷόν τε παρασχέσθαι. οὐ γα
μόνον ἡμῖν παρεῖναι οὐκ ἐξῆν, ἀλλ' οὐδὲ παρ' α
τοῖς εἶναι, ὥστε ἐπὶ τούτοις ἐστὶ, πάντα τὰ κα
εἰργασμένοις τὴν πάλιν, πάντα τἀγαθὰ περὶ αὐτ
λέγειν. τοῦτο μέντοι οὐ φεύγω, ἀλλ' ὁμολογῶ σο
εἰ βούλει, ἀντειπεῖν. θαυμάζω δὲ, τί ἂν ποτε ποι
σαις συνειπὼν, ὅπότε ἀντειπεῖν φάσκων, ἀπέκτειν
Πολέμαρχον. φέρε δή, τί ἂν εἰ καὶ ἀδελφοὶ ὄντ
ἐτύχετε αὐτοῦ, ἢ καὶ υἱεῖς, ἀπεψηφίσασθε; ἆ
γὰρ, ὦ ἄνδρες δικασταὶ, Ἐρατοσθένην δυοῖν θάτ
ρον ἀποδεῖξαι, ἢ ὡς οὐκ ἀπήγαγεν αὐτὸν, ἢ ὡς δ
καίως ταῦτ' ἔπραξεν. αὖτος δὲ ὡμολόγησεν ἀδίκω

συλλαβεῖν, ὥστε ῥᾳδίαν ὑμῖν τὴν διαψήφισιν περ αὐτοῦ πεποίηκε. καὶ μὲν δὴ πολλοὶ καὶ τῶν ἀστῶν καὶ τῶν ξένων ἥκουσιν, εἰσόμενοι, τίνα γνώμην περὶ τούτων ἕξετε. ὧν οἱ μὲν ἡμέτεροι ὄντες πολῖται, μαθόντες ἀπίασιν, ὅτι ἢ δίκην δώσουσιν, ὧν ἂν ἐξαμάρτωσιν, ἢ πράξαντες μὲν ὧν ἐφίενται, τύραννοι τῆς πόλεως ἔσονται, δυστυχήσαντες δὲ, τὸ ἴσον ὑμῖν ἕξουσιν. ὅσοι δὲ ξένοι ἐπιδημοῦσιν, εἴσονται, πότερον ἀδίκως τοὺς τριάκοντα ἐκκηρύττουσιν ἐκ τῶν πόλεων, ἢ δικαίως. εἰ γὰρ δὴ αὐτοὶ οἱ κακῶς πεπονθότες, λαβόντες ἀφήσουσιν, ἦπου σφᾶς αὐτοὺς ἡγήσονται περιέργους ὑπὲρ ὑμῶν τειρομένους. οὔκουν δεινὸν, εἰ τοὺς μὲν στρατηγοὺς, οἳ ἐνίκων ναυμαχοῦντες, ὅτι διὰ χειμῶνα οὐκ οἷοί τ' ἔφασαν εἶναι τοὺς ἐκ τῆς θαλάττης ἀνελέσθαι, θανάτῳ ἐζημιώσατε, ἡγούμενοι χρῆναι τῇ τῶν τεθνειότων ἀρετῇ παρ' ἐκείνων δίκην λαβεῖν· τούτους δὲ δὴ, οἳ ἰδιῶται μὲν ὄντες καθόσον ἐδύναντο ἐποίησαν ἡττηθῆναι ναυμαχοῦντας, ἐπειδὴ δὲ εἰς τὴν ἀρχὴν κατέστησαν, ὁμολογοῦσιν ἑκόντες πολλοὺς τῶν πολιτῶν ἀκρίτους ἀποκτιννύναι· οὐκ ἄρα χρὴ αὐτοὺς καὶ τοὺς παῖδας ὑφ' ὑμῶν ταῖς ἐσχάταις ζημίαις κολάζεσθαι; ἐγὼ τοίνυν, ὦ ἄνδρες δικασταὶ, ἠξίουν ἱκανὰ εἶναι τὰ κατηγορημένα· μέχρι γὰρ τούτου νομίζω χρῆναι κατηγορεῖν, ἕως ἂν θανάτου δόξῃ τῷ φεύγοντι ἄξια εἰργάσθαι. ταύτην γὰρ ἐσχάτην δίκην δυνάμεθα παρ' αὐτῶν λαβεῖν· ὥστ' οὐκ οἶδ', ὅ, τι διῖ πολλὰ κατηγορεῖν τοιούτων ἀνδρῶν, οἳ οὐδ' ὑπὲρ ἑνὸς ἑκάστου τῶν πεπραγμένων δὶς ἀπο-

θανόντες, δίκην δοῦναι δύναιντ' ἄν. οὐ γὰρ δὴ ο
δὲ τοῦτο αὐτῷ προσήκει ποιῆσαι, ὅπερ ἐν τῇδε
πόλει εἰθισμένον ἐστίν· πρὸς μὲν τὰ κατηγορούμε
μηδὲν ἀπολογεῖσθαι, περὶ δὲ σφῶν αὐτῶν ἕτερα λ
γοντες ἐνίοτε ἐξαπατῶσιν, ὑμῖν ἀποδεικνύντες,
στρατιῶται ἀγαθοί εἰσιν, ἢ ὡς πολλὰς τῶν πολ
μίων ναῦς ἕλαβον τριηραρχήσαντες· ἢ πόλεις, πολ
μίας οὔσας, φίλας ἐποίησαν. ἐπεὶ κελεύετε αὐτ
ἀποδεῖξαι, ὅπου τοσούτους τῶν πολεμίων ἀπέκτ
ναν, ὅσους τῶν πολιτῶν· ἢ ναῦς ὅπου τοσαύτ
ἕλαβον, ὅσας αὐτοὶ παρέδωκαν· ἢ πόλιν ἥντινα τ
αὐτὴν προσεκτήσαντο, οἵαν τὴν ἡμετέραν κατεδο
λώσαντο. ἀλλὰ γὰρ ὅπλα τῶν πολεμίων ἐσκύλευσο
ὅσαπερ ὑμῶν ἀφείλοντο; ἀλλὰ τείχη τοιαῦτα εἶλ
οἷα τῆς ἑαυτῶν πατρίδος κατέσκαψαν; οἵτινες κ
τὰ περὶ τὴν Ἀττικὴν φρούρια καθεῖλον, καὶ ὑμ
ἐδήλωσαν, ὅτι οὐδὲ τὸν Πειραιᾶ Λακεδαιμονί
προστατόντων περιεῖλον, ἀλλ' οἷς αὐτοῖς τὴν ἀ
χὴν οὕτω βεβαιοτέραν ἐνόμιζον εἶναι. πολλάκις ο
ἐθαύμασα τῆς τόλμης τῶν λεγόντων ὑπὲρ αὐτῶ
πλὴν ὅταν ἐνθυμηθῶ, ὅτι τῶν αὐτῶν ἐστιν, αὐτο
τε πάντα τὰ κακὰ ἐργάζεσθαι, καὶ τοὺς τοιούτα
ἐπαινεῖν. οὐ γὰρ νῦν πρῶτον τῷ ὑμετέρῳ πλήθ
τὰ ἐναντία ἔπραξεν, ἀλλὰ καὶ ἐπὶ τῶν τετρακοσί
ἐν τῷ στρατοπέδῳ ὀλιγαρχίαν καθιστὰς, ἔφευγεν
Ἑλλησπόντου τριήραρχος καταλιπὼν τὴν ναῦν, με
Ἰατροκλέους, καὶ ἑτέρων, ὧν τὰ ὀνόματα οὐδὲν δε
μαι λέγειν. ἀφικόμενος δὲ δεῦρο, ταναντία τ
βουλομένοις δημοκρατίαν εἶναι ἔπραττεν. καὶ το

των μάρτυρας ὑμῖν παρέξομαι. ΜΑΡΤΤΡΕΣ. *Τὸν μὲν τοίνυν μεταξὺ βίον αὐτοῦ παρήσω· ἐπειδὴ δὲ ἡ ναυμαχία, καὶ ἡ συμφορὰ τῇ πόλει ἐγένετο, δημοκρατίας ἔτι οὔσης, ὅθεν τῆς στάσεως ἦρξαν, πέντε ἄνδρες ἔφοροι κατέστησαν ὑπὸ τῶν καλουμένων ἑταίρων, συναγωγεῖς μὲν τῶν πολιτῶν, ἄρχοντες δὲ τῶν συνωμοτῶν, ἐναντία δὲ τῷ ὑμετέρῳ πλήθει πράττοντες· ὧν Ἐρατοσθένης καὶ Κριτίας ἦσαν. οὗτοι δὲ φυλάρχους τε ἐπὶ τὰς φυλακὰς κατέστησαν, καὶ ὅ, τι δέοι χειροτονεῖσθαι καὶ οὕστινας χρὴ ἄρχειν παρήγγειλλον, καὶ εἴ τι ἄλλο πράττειν βούλοιντο, κύριοι ἦσαν. οὕτως οὐχ ὑπὸ τῶν πολεμίων μόνον, ἀλλὰ καὶ ὑπὸ τούτων, πολιτῶν ὄντων, ἐπεβουλεύεσθε, ὅπως μήτ' ἀγαθὸν μηδὲν ψηφίσεσθε, πολλῶν τε ἐνδεεῖς ἔσεσθε. τοῦτο γὰρ καὶ ἠπίσταντο, ὅτι ἄλλως μὲν οὐχ οἷοί τε ἔσονται περιγενέσθαι, κακῶς δὲ πραττόντων, δυνήσονται. καὶ ὑμᾶς ἡγοῦντο, τῶν παρόντων κακῶν ἐπιθυμοῦντας ἀπαλλαγῆναι, περὶ τῶν μελλόντων οὐκ ἐνθυμήσεσθαι. ὡς τοίνυν τῶν ἐφόρων ἐγένετο, μάρτυρας ὑμῖν παρέξομαι, οὐ τοὺς τότε συμπράττοντας, (οὐ γὰρ ἂν δυναίμην) ἀλλὰ τοὺς αὐτοῦ Ἐρατοσθένους ἀκούσαντας· καίτοι εἰ ἐσωφρόνουν, κατεμαρτύρουν ἂν αὐτῶν· καὶ τοὺς διδασκάλους τῶν σφετέρων ἁμαρτημάτων σφόδρα ἂν ἐκόλαζον, καὶ τοὺς ὅρκους, εἰ ἐσωφρόνουν, οὐκ ἂν ἐπὶ μὲν τοῖς τῶν πολιτῶν κακοῖς πιστοὺς ἐνόμιζον, ἐπὶ δὲ τοῖς τῆς πόλεως ἀγαθοῖς ῥᾳδίως παρέβαινον. πρὸς μὲν οὖν τούτους τοσαῦτα λέγω. τοὺς δὲ μάρτυράς μοι κάλει. καὶ ὑμεῖς ἀνάβητε.* ΜΑΡΤΤΡΕΣ.

Τῶν μὲν μαρτύρων ἀπηκόατε. τὸ δὲ τελευταῖον εἰς τὴν ἀρχὴν καταστὰς, ἀγαθοῦ μὲν οὐδενὸς μετέσχεν, ἄλλων δὲ πολλῶν· καίτοι εἴπερ ἦν ἀνὴρ ἀγαθὸς, ἐχρῆν ἂν πρῶτον μὲν μὴ παρανόμως ἄρχειν, ἔπειτα τῇ βουλῇ μηνυτὴν γίνεσθαι περὶ τῶν εἰσαγγελιῶν ἁπασῶν, ὅτι ψευδεῖς εἶεν. καὶ Βάτραχος καὶ Αἰσχυλίδης οὐ τἀληθῆ μηνύουσιν, ἀλλὰ τἀληθῆ ὑπὸ τῶν τριάκοντα πλασθέντα εἰσαγγέλλουσι, συγκείμενα ἐπὶ τῇ τῶν πολιτῶν βλάβῃ. καὶ μὲν δὴ, ὦ ἄνδρες δικασταὶ, ὅσοι κακόνοι ἦσαν τῷ ὑμετέρῳ πλήθει, οὐδὲν ἔλαττον εἶχον σιωπῶντες. ἕτεροι γὰρ ἦσαν οἱ λέγοντες καὶ πράττοντες, ὧν οὐχ οἷόν τ' ἦν μείζω κακὰ γενέσθαι τῇ πόλει. ὁπόσοι δ' εὖνοι φασὶν εἶναι, πῶς οὐκ ἐνταῦθα ἔδειξαν, αὐτοί τε τὰ βέλτιστα λέγοντες, καὶ τοὺς ἐξαμαρτάνοντας ἀποτρέποντες; ἴσως δ' ἂν ἔχοι εἰπεῖν, ὅτι ἐδεδοίκει, (καὶ ὑμῶν τοῦτο ἐνίοις ἱκανὸν ἔσται) ὅπως τι μὴ φανήσεται ἐν τῷ λόγῳ τοῖς τριάκοντα ἐναντιούμενος· εἰ δὲ μὴ, ἐνταυθοῖ δῆλος ἔσται, ὅτι ἐκεῖνά τε αὐτῷ ἤρεσκε, καὶ τοσοῦτον ἐδύνατο, ὥστε ἐναντιούμενος μηδὲν κακὸν παθεῖν ὑπ' αὐτῶν. χρῆν δ' αὐτὸν ὑπὲρ τῆς ὑμετέρας σωτηρίας ταύτην τὴν προθυμίαν ἔχειν, ἀλλὰ μὴ ὑπὲρ Θηραμένους, ὃς εἰς ὑμᾶς πολλὰ ἐξήμαρτεν· ἀλλ' οὗτος τὴν μὲν πόλιν ἐχθρὰν ἐνόμιζεν εἶναι, τοὺς δ' ὑμετέρους ἐχθροὺς φίλους· ὡς ἀμφότερα ταῦτα ἐγὼ πολλοῖς τεκμηρίοις παραστήσω, καὶ τὰς πρὸς ἀλλήλους διαφορὰς οὐχ ὑπὲρ ὑμῶν, ἀλλ' ὑπὲρ ἑαυτῶν γινομένας, ὁπότεροί μοι ταῦτα πράξουσι, καὶ τῆς πόλεως ἄρξουσι. καὶ γὰρ

εἰ ὑπὲρ τῶν ἀδικουμένων ἐστασίαζον, ποῦ κάλλιον ἂν ἦν ἄνδρὶ ἄρχοντι, ἢ Θρασυβούλου Φυλὴν κατειληφότος, τότε ἐπιδείξασθαι τὴν αὐτοῦ συνουσίαν; ὃ δ' ἀντὶ τοῦ ἐπαγγείλασθαί τι ἢ πρᾶξαι ἀγαθὸν πρὸς τοὺς ἐπὶ Φυλῇ, ἐλθὼν μετὰ τῶν συναρχόντων εἰς Σαλαμῖνα καὶ Ἐλευσῖνάδε, τριακοσίους τῶν πολιτῶν ἀπήγαγεν εἰς τὸ δεσμωτήριον, καὶ μιᾷ ψήφῳ αὐτῶν ἅπάντων θάνατον κατεψηφίσατο. ἐπειδὴ δὲ εἰς τὸν Πειραιᾶ ἤλθομεν, καὶ αἱ ταραχαὶ γεγενημέναι ἦσαν, καὶ περὶ τῶν διαλλαγῶν οἱ λόγοι ἐγίνοντο, πολλὰς ἑκάτεροι ἐλπίδας εἴχομεν πρὸς ἀλλήλους ἔσεσθαι, ὡς ἀμφότεροι ἔδοξαν. οἱ μὲν γὰρ ἐκ Πειραιῶς, κρείττους ὄντες, εἴασαν αὐτοὺς ἀπελθεῖν· οἱ δὲ εἰς τὸ ἄστυ ἐλθόντες, τοὺς μὲν τριάκοντα ἐξέβαλον, πλὴν Φείδωνος καὶ Ἐρατοσθένους, ἄρχοντας δὲ τοὺς ἐκείνοις ἐχθίστους εἵλοντο, ἡγούμενοι δικαίως ἂν ὑπὸ τῶν αὐτῶν τοῦς τε τριάκοντα μισεῖσθαι καὶ τοὺς ἐν Πειραιεῖ φιλεῖσθαι. τούτων τοίνυν Φείδων ὃ τῶν τριάκοντα γενόμενος, καὶ Ἱππόκλῆς, καὶ Ἐπιχάρης ὁ Λαμπτρεὺς, καὶ ἕτεροι οἱ δοκοῦντες εἶναι ἐναντιώτατοι Χαρικλεῖ καὶ Κριτίᾳ καὶ τῇ ἐκείνων ἑταιρείᾳ, ἐπειδὴ αὖθις εἰς τὴν ἀρχὴν κατέστησαν, πολὺ μείζω στάσιν καὶ πόλεμον ἐπὶ τοὺς ἐν Πειραιεῖ ἢ τοῖς ἐξ ἄστεος ἐποίησαν. ᾗ καὶ φανερῶς ἐπεδείξαντο, ὅτι οὐχ ὑπὲρ τῶν ἐν Πειραιεῖ, οὐδ' ὑπὲρ τῶν ἀδίκως ἀπολλυμένων ἐστασίαζον, οὐδ' οἱ τεθνειότες αὐτοὺς ἐλύπουν, οὐδ' οἱ μέλλοντες ἀποθανεῖσθαι· ἀλλ' οἱ μεῖζον δυνάμενοι, καὶ θάσσον πλουτοῦντες. λαβόντες γὰρ τὰς ἀρχὰς καὶ

τὴν πόλιν, ἀμφοτέροις ἐπολέμουν, τοῖς τε τριάκοντα, πάντα κακὰ εἰργασμένοις, καὶ ὑμῖν πάντα κακὰ πεπονθόσι· καίτοι τοῦτο πᾶσι δῆλον ἦν, ὅτι, εἰ μὲν ἐκεῖνοι δικαίως ἔφευγον, ὑμεῖς ἀδίκως· εἰ δ' ὑμεῖς ἀδίκως, οἱ τριάκοντα δικαίως· οὐ γὰρ δι' ἑτέρων ἔργων αἰτίαν λαβόντες ἐκ τῆς πόλεως ἐξέπεσον, ἀλλὰ τούτων· ὥστε σφόδρα χρὴ ὀργίζεσθαι, ὅτι Φείδων αἱρεθεὶς ὑμᾶς διαλλάξαι καὶ καταγαγεῖν, τῶν αὐτῶν ἔργων Ἐρατοσθένει μετεῖχε· καὶ τῇ αὐτῇ γνώμῃ τοὺς μὲν κρείττους αὑτῶν δι' ὑμᾶς κακῶς ποιεῖν ἕτοιμος ἦν, ὑμῖν δὲ ἀδίκως φεύγουσιν οὐκ ἠθέλησεν ἀποδοῦναι τὴν πόλιν· ἀλλ' ἐλθὼν εἰς Λακεδαίμονα, ἔπειθεν αὐτοὺς στρατεύεσθαι· διαβάλλων, ὅτι Βοιωτῶν ἡ πόλις ἔσται, καὶ ἄλλα λέγων, οἷς ᾤετο πείσειν μάλιστα. οὐ δυνάμενος δὲ τούτων τυχεῖν, εἴτε καὶ τῶν ἱερῶν ἐμποδὼν ὄντων, εἴτε καὶ αὐτῶν οὐ βουλομένων, ἑκατὸν τάλαντα ἐδανείσατο, ἵνα ἔχῃ ἐπικούρους μισθοῦσθαι. καὶ Λύσανδρον ἄρχοντα ᾐτήσαντο, εὐνούστατον μὲν ὄντα τῇ ὁλιγαρχίᾳ, κακονούστατον δὲ τῇ πόλει· μισοῦντα δὲ μάλιστα τοὺς ἐν Πειραιεῖ. μισθωσάμενοι δὲ πάντας ἀνθρώπους ἐπ' ὀλέθρῳ τῆς πόλεως, καὶ πόλεις ἐπάγοντες, καὶ τελευτῶντες Λακεδαιμονίους, καὶ τῶν συμμάχων ὁπόσους ἐδύναντο πεῖσαι, οὐ διαλλάξαι, ἀλλ' ἀπολέσαι παρεσκευάζοντο τὴν πόλιν· εἰ μὴ δι' ἄνδρας ἀγαθοὺς, οἷς ὑμεῖς δηλώσατε παρὰ τῶν ἐχθρῶν δίκην λαβόντες, ὅτι καὶ ἐκείνοις χάριν ἀποδώσετε. ταῦτα δὲ ἐπίστασθε μὲν καὶ αὐτοὶ, καὶ οἶδ', ὅτι οὐ δεῖ μάρτυρας παρασχέσθαι· ὅμως δ'·

τε γὰρ δέομαι ἀναπαύσασθαι, ὑμῶν τ' ἐνίοις
ν ὡς πλεῖστον τοὺς αὐτοὺς λόγους ἀκούειν.
ΡΤΡΕΣ. Φέρε δὲ καὶ περὶ Θηραμένους ὡς
ωμαι διὰ βραχυτάτων διιδάξω. Δέομαι δ' ὑμῶν
ίσαι ὑπέρ τ' ἐμαυτοῦ καὶ τῆς πόλεως. καὶ μη-
τοῦτο παραστῇ, ὡς Ἐρατοσθένους κινδυνεύον-
Θηραμένους κατηγορῶ. πυνθάνομαι γὰρ ταῦ-
ἐπολογήσασθαι αὐτόν, ὅτι ἐκείνοις φίλος ἦν,
τῶν αὐτῶν ἔργων μετεῖχε. καίτοι σφόδρ' ἂν αὐ-
οἶμαι μετὰ Θεμιστοκλέους πολιτευόμενον, προς-
ῖσθαι πράττειν, ὅπως οἰκοδομηθήσεται τὰ τεί-
δπότε καὶ μετὰ Θηραμένους, ὅπως καθαιρεθή-
ι. οὐ γάρ μοι δοκοῦσιν ἴσων ἄξιοι γεγενῆσθαι.
ν γὰρ Λακεδαιμονίων ἀκόντων ᾠκοδόμησεν αὐ-
οὗτος δὲ τοὺς πολίτας ἐξαπατήσας καθεῖλε. πε-
τηκεν οὖν τῇ πόλει τοὐναντίον ἢ ὡς εἰκὸς ἦν.
ν μὲν γὰρ καὶ τοὺς φίλους τοῦ Θηραμένους
απολωλέναι, πλὴν εἴ τις ἐτύγχανεν ἐκείνῳ τἀν-
α πράττων. νῦν δὲ ὁρῶ τάς τε ἀπολογίας εἰς
νον ἀναφερομένας, τούς τ' ἐκείνῳ συνόντας τι-
θαι πειρωμένους, ὥσπερ πολλῶν ἀγαθῶν αἰ-
ς, ἀλλ' οὐ μεγάλων κακῶν γεγενημένους. ὃς
τον μὲν τῆς προτέρας ὀλιγαρχίας αἰτιώτατος ἐγέ-
, πείσας ὑμᾶς τὴν ἐπὶ τῶν τετρακοσίων πολι-
ν ἑλέσθαι. καὶ ὁ μὲν πατὴρ αὐτοῦ τῶν προβού-
ῶν ταῦτ' ἔπραττεν, αὐτὸς δὲ, δοκῶν εὐνούστα-
εῖναι τοῖς πράγμασι, στρατηγὸς ὑπ' αὐτοῦ ᾑρέ-
καὶ ἕως μὲν ἐτιμᾶτο, πιστὸν ἑαυτὸν τῇ πόλει
εῖχεν· ἐπειδὴ δὲ Πείσανδρον μὲν καὶ Κάλλαν-

σχρον καὶ ἑτέρους ἑώρα πραοτέρους αὐτοῦ γενομένους, τὸ δὲ ὑμέτερον πλῆθος οὐκέτι βουλόμενον τούτων ἀκροᾶσθαι, τότ' ἤδη, διά τε τὸν πρὸς ἐκείνους φθόνον καὶ τὸ παρ' ὑμῶν δέος, μετέσχε τῶν Ἀριστοκράτους ἔργων. βουλόμενος δὲ τῷ ὑμετέρῳ πλήθει δοκεῖν πιστὸς εἶναι, Ἀντιφῶντα καὶ Ἀρχεπτόλεμον, φιλτάτους ὄντας αὐτῷ, κατηγορῶν ὑπέκτεινεν. εἰς τοσοῦτον δὲ κακίας ἦλθεν, ὥστε ἅμα μὲν, διὰ τὴν πρὸς ἐκείνους πίστιν, ὑμᾶς κατεδουλώσατο, διὰ δὲ τὴν πρὸς ὑμᾶς, τοὺς φίλους ἀπώλεσεν. τιμώμενος δὲ καὶ τῶν μεγίστων ἀξιούμενος. αὐτὸς ἐπαγγειλάμενος σώσειν τὴν πόλιν, αὐτὸς ἀπώλεσε· φάσκων πρᾶγμα εὑρηκέναι μέγα καὶ πολλοῦ ἄξιον. ὑπέσχετο δὲ εἰρήνην ποιήσειν, μήτε ὅπλα δοὺς, μήτε τὰ τείχη καθελὼν, μήτε τὰς ναῦς παραδούς. ταῦτα δὲ εἰπεῖν μὲν οὐδενὶ ἠθέλησεν, ἐκέλευσε δὲ αὐτῷ πιστεύειν. ὑμεῖς δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, πραττούσης μὲν τῆς ἐν Ἀρείῳ πάγῳ βουλῆς σωτηρίαν, ἀντιλεγόντων δὲ πολλῶν θηραμένει, εἰδότες δὲ, ὅτι οἱ μὲν ἄλλοι ἄνθρωποι τῶν πολεμίων οὕνεκεν τἀπόῤῥητα ποιοῦνται, ἐκεῖνος δ' ἐν τοῖς αὐτοῦ πολίταις οὐκ ἠθέλησεν εἰπεῖν ταῦθ', ἃ πρὸς τοὺς πολεμίους ἔμελλεν ἐρεῖν, ὅμως ἐπετρέψατε αὐτῷ πατρίδα, καὶ παῖδας, καὶ γυναῖκας, καὶ ὑμᾶς αὐτούς.§ ὃ δὲ ὧν μὲν ὑπέσχετο, οὐδὲν ἔπραξεν, οὕτω δὲ ἐνετεθύμητο, ὡς χρὴ μικρὰν καὶ ἀσθενῆ γενέσθαι τὴν πόλιν. ὥστε περὶ ὧν οὐδεὶς πώποτε οὔτε τῶν πολεμίων ἐμνήσθη, οὔτε τῶν πολιτῶν ἤλπισε,

ἀναγκαζόμενος, ἀλλ' αὐτὸς ἐκείνοις ἐπαγγελλόμενος, τοῦ τε Πειραιῶς τὰ τείχη περιελεῖν, καὶ τὴν ὑπάρχουσαν πολιτείαν καταλῦσαι· εὖ εἰδὼς, ὅτι, εἰ μὴ πασῶν τῶν ἐλπίδων ἀποστερηθήσεσθε, ταχέως παρ' αὐτοῦ τὴν τιμωρίαν κομιεῖσθε. καὶ τὸ τελευταῖον, ὦ ἄνδρες δικασταὶ, οὐ πρότερον εἴασε τὴν ἐκκλησίαν γενέσθαι, ἕως ὁ λεγόμενος ὑπ' ἐκείνου καιρὸς ἐπιμελῶς ὑπ' αὐτοῦ ἐτηρήθη, καὶ μετεπέμψατο μὲν τὰς μετὰ Δυσάνδρου ναῦς ἐκ Σάμου, ἐπεδήμησε δὲ τὸ τῶν πολεμίων στρατόπεδον. τότε δὲ τούτων ὑπαρχόντων, καὶ παρόντων Δυσάνδρου, καὶ Φιλοχάρους, καὶ Μιλτιάδου, περὶ τῆς πολιτείας τὴν ἐκκλησίαν ἐποίουν· ἵνα μήτε ῥήτωρ αὐτοῖς μηδεὶς ἐναντιοῖτο, μήτε ἀπειλοῖτο· ὑμεῖς τε μὴ τὰ τῇ πόλει συμφέροντα ἕλοισθε, ἀλλὰ τἀκείνοις δοκοῦντα ψηφίσαισθε· ἀναστὰς δὲ Θηραμένης ἐκέλευσεν ὑμᾶς τριάκοντα ἀνδράσιν ἐπιτρέψαι τὴν πόλιν, καὶ τῇ πολιτείᾳ χρῆσθαι, ἣν Δρακοντίδης ἀπέφηνεν· ὑμεῖς δ' ὅμως καὶ οὕτω διακείμενοι, ἐθορυβεῖτε, ὡς οὐ ποιήσοντες ταῦτα. ἐγινώσκετε γάρ, ὅτι περὶ δουλείας καὶ ἐλευθερίας ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐκκλησιάζετε. Θηραμένης δὲ, ὦ ἄνδρες δικασταὶ, (καὶ τούτων ὑμᾶς αὐτοὺς μάρτυρας παρέξομαι) εἶπεν, ὅτι οὐδὲν αὐτῷ μέλοι τοῦ ὑμετέρου θορύβου, ἐπειδὴ πολλοὺς μὲν Ἀθηναίων εἰδείη τοὺς τὰ ὅμοια πράττοντας αὐτῷ, δοκοῦντα δὲ Δυσάνδρῳ καὶ Λακεδαιμονίοις λέγοι· μετ' ἐκεῖνον δὲ Λύσανδρος ἀναστὰς ἄλλα τε πολλὰ τολμηρῶς εἶπε, καὶ ὅτι παρασπὸν θεὸν ὑμῖν ἔχοι, καὶ ὅτι οὐ περὶ πολιτείας ὑμῖν

ἔσται, ἀλλὰ περὶ σωτηρίας ὁ λόγος, εἰ μὴ ποιήσαιθ', ἃ Θηραμένης κελεύοι. τῶν δ' ἐν τῇ ἐκκλησίᾳ ὅσοι ἄνδρες ἀγαθοὶ ἦσαν, γνόντες τὴν παρασκευὴν καὶ τὴν ἀνάγκην, οἱ μὲν αὐτοῦ μένοντες ἡσυχίαν ἦγον, οἱ δὲ ᾤχοντο ἀπιόντες· τοῦτο γοῦν σφίσιν αὐτοῖς συνειδότες, ὅτι οὐδὲν κακὸν τῇ πόλει ἐψηφίσαντο ὀλίγοι δέ τινες, καὶ πονηροὶ καὶ κακῶς βουλευόμενοι, τὰ προσταχθέντα ἐχειροτόνησαν. παρηγγέλλετο γὰρ αὐτοῖς, δέκα μὲν, οὓς Θηραμένης ἀπέδειξε, χειροτονῆσαι, δέκα δὲ, οὓς οἱ καθεστηκότες ἔφοροι κελεύοιεν, δέκα δὲ ἐκ τῶν παρόντων. οὕτω γὰρ τὴν ὑμετέραν ἀσθένειαν ἐώρων, καὶ τὴν αὐτῶν δύναμιν ἠπίσταντο, ὥστε πρότερον ἤδεσαν τὰ μέλλοντα ἐν τῇ ἐκκλησίᾳ πραχθήσεσθαι. ταῦτα δὲ οὐκ ἐμοὶ δεῖ πιστεῦσαι, ἀλλὰ ἐκείνῳ. πάντα γὰρ τὰ ὑπ' ἐμοῦ εἰρημένα, ἐν τῇ βουλῇ ἀπολογούμενος ἔλεγεν· ὀνειδίζων μὲν τοῖς φεύγουσιν, ὅτι δι' αὐτὸν κατέλθοιεν· οὐδὲν φροντίζων δὲ τῶν Λακεδαιμονίων· ὀνειδίζων δὲ τοῖς τῆς πολιτείας μετέχουσιν, ὅτι πάντων τῶν πεπραγμένων τοῖς εἰρημένοις τρόποις ὑπ' ἐμοῦ, αὐτὸς αἴτιος γεγενημένος, τοιούτων τυγχάνοι, πολλὰς πίστεις αὐτῷ ἔργῳ δεδωκὼς, καὶ παρ' ἐκείνων ὅρκους εἰληφώς. καὶ τοσούτων καὶ ἑτέρων κακῶν καὶ αἰσχρῶν καὶ πάλαι καὶ νεωστὶ καὶ μικρῶν καὶ μεγάλων αἴτιοι γεγενημένοι, τολμήσουσιν αὐτοὺς φίλους ὄντας ἀποφαίνειν; οὐχ ὑπὲρ ὑμῶν ἀποθανόντι Θηραμένους, ἀλλ' ὑπὲρ τῆς αὐτοῦ πονηρίας· καὶ καίως μὲν ἐν ὀλιγαρχίᾳ δίκην δόντος, (ἦδη γὰρ τὴν κατέλυσε) δικαίως δ' ἂν ἐν δημοκρατίᾳ· ὃς

ὑμᾶς κατεδουλώσατο, τῶν μὲν παρόντων καταφρονῶν, τῶν δὲ ἀπόντων ἐπιθυμῶν· καὶ τῷ καλλίστῳ ὀνόματι χρώμενος, δεινοτάτων ἔργων διδάσκαλος καταστάς. περὶ μὲν τοίνυν Θηραμένους ἱκανά μοι ἐστὶ τὰ κατηγορημένα. ἥκει δ' ὑμῖν ἐκεῖνος ὁ καιρὸς, ἐν ᾧ δεῖ συγγνώμην καὶ ἔλεον μὴ εἶναι ἐν ταῖς ὑμετέραις γνώμαις, ἀλλὰ παρὰ Ἐρατοσθένους καὶ τῶν τουτουΐ συναρχόντων δίκην λαβεῖν· μηδὲ μαχομένους κρείττους εἶναι τῶν πολεμίων· ψηφιζομένους δὲ, ἥττους τῶν ἐχθρῶν. μηδ' ὧν φασὶ μέλλειν πράξειν, πλείω χάριν αὐτοῖς ἴστε, ἢ ὧν ἐποίησαν ὀργίζεσθε· μηδ' ἀποῦσι μὲν τοῖς τριάκοντα ἐπιβουλεύετε, παρόντας δ' ἀφῆτε· μηδὲ τῆς τύχης, ἣ τούτους παρέδωκε τῇ πόλει, κάκιον ὑμῖν αὐτοῖς βοηθήσητε. κατηγορεῖτε δὲ Ἐρατοσθένους καὶ τῶν τούτου φίλων, οἷς τὰς ἀπολογίας ἀνοίσει, καὶ μεθ' ὧν αὐτῷ ταῦτα πέπρακται. ὁ μέντοι ἀγὼν οὐκ ἐξ ἴσου τῇ πόλει καὶ Ἐρατοσθένει. οὗτος μὲν γὰρ κατήγορος καὶ δικαστὴς αὐτὸς ἦν τῶν γινομένων· ἡμεῖς δὲ νυνὶ εἰς κατηγορίαν καὶ ἀπολογίαν καθέσταμεν. καίτοι οὗτοι μὲν τοὺς οὐδὲν ἀδικοῦντας ἀκρίτως ἀπέκτειναν, ὑμεῖς δὲ τοὺς ἀπολέσαντας τὴν πόλιν, κατὰ τὸν νόμον ἀξιοῦτε κρίνειν· παρ' ὧν οὐδ' ἂν παρανόμως βουλόμενοι δίκην λαμβάνειν, ἄξιαν τῶν ἀδικημάτων, ὧν τὴν πόλιν ἠδικήκασι, λάβοιτε. τί γὰρ ἂν παθόντες, δίκην τὴν ἀξίαν εἴησαν τῶν ἔργων δεδωκότες; πότερον, εἰ αὐτοὺς ἀποκτείνοιτε καὶ τοὺς παῖδας αὐτῶν, ἱκανὴν ἂν τοῦ φόνου δίκην λάβοιμεν, ὧν οὗτοι πατέρας

καὶ υἱεῖς καὶ ἀδελφοὺς ἀκρίτως ἀπέκτειναν; ἀλλὰ γὰρ εἰ τὰ χρήματα τὰ φανερὰ δημεύσαιτε, καλῶς ἂν ἔχοι, ἢ τῇ πόλει, ἧς οὗτοι πολλὰ εἰλήφασιν, ἢ τοῖς ἰδιώταις, ὧν οἰκίας ἐξεπόρθησαν; ἐπειδὴ τοίνυν πάντα ποιοῦντες, δίκην παρ' αὐτῶν οὐκ ἂν δύνησθε λαβεῖν, πῶς οὐκ αἰσχρὸν ὑμῖν καὶ ἡντινοῦν ἀπολιπεῖν, ἤντινά τις βούλοιτο παρὰ τούτων λαμβάνειν; πᾶν δ' ἄν μοι δοκεῖ τολμῆσαι, ὅστις νυνὶ, οὐχ ἑτέρων ὄντων τῶν δικαστῶν, ἀλλ' αὐτῶν τῶν κακῶς πεποιηθότων, ἥκει ἀπολογησόμενος πρὸς αὐτοὺς τοὺς μάρτυρας τῆς τούτου πονηρίας. τοσοῦτον δ' ὑμῶν καταπεφρόνηκεν, ἢ ἑτέροις πεπίστευκεν. ὧν ἀμφοτέρων ἄξιον ἐπιμεληθῆναι, ἐνθυμουμένους, ὅτι οὔτ' ἂν ἐκεῖνα δύναιτο ποιεῖν, μὴ ἑτέρων συμπραττόντων, οὔτ' ἂν νῦν ἐπεχείρησαν ἐλεῖν, μὴ ὑπὸ τῶν αὐτῶν οἰόμενοι σωθήσεσθαι, οἳ οὐ τούτοις ἤκουσι βοηθήσοντες, ἀλλὰ ἡγούμενοι πολλὴν ἄδειαν σφίσιν ἔσεσθαι τῶν πεπραγμένων, καὶ τοῦ λοιποῦ ποιεῖν ὅ, τι ἂν βούλωνται, εἰ τοὺς μεγίστων κακῶν αἰτίους λαβόντας ἀφήσετε. ἀλλὰ καὶ τῶν συνειρόντων αὐτοῖς ἄξιον θαυμάζειν, πότερον ὡς καλοὶ κἀγαθοὶ αἰτήσονται, τὴν αὐτῶν ἀρετὴν πλείονος ἀξίαν ἀποφαίνοντες τῆς πονηρίας· ἐβουλόμην μέντ' ἂν αὐτοὺς οὕτω προθύμους εἶναι σώζειν τὴν πόλιν, ὥσπερ οὗτοι ἀπολλύναι. ἢ ὡς δεινοὶ λέγειν ἀπολογήσονται, καὶ τὰ τούτων ἔργα πολλοῦ ἄξια ἀποφανοῦσιν; ἀλλ' οὐχ ὑπὲρ ὑμῶν οὐδεὶς αὐτῶν οὐδὲ τὰ δίκαια πώποτε ἐπεχείρησεν εἰπεῖν. ἀλλὰ τοὺς μάρτυρας ἄξιον ἰδεῖν

οἳ τούτοις μαρτυροῦντες, αὐτῶν κατηγοροῦσι· σφόδρα ἐπιλήσμονας καὶ εὐήθεις νομίζοντες ὑμᾶς εἶναι, εἰ διὰ μὲν τοῦ ὑμετέρου πλήθους ἀδεῶς ἡγοῦνται τοὺς τριάκοντα σώσειν, διὰ δὲ Ἐρατοσθένην καὶ τοὺς συνάρχοντας αὐτοῦ, δεινὸν ἦν καὶ τῶν τεθνειότων ἐπ' ἐκφορὰν ἐλθεῖν. καίτοι οὗτοι μὲν σωθέντες, πάλιν ἂν δύναιντο τὴν πόλιν ἀπολέσαι· ἐκεῖνοι δὲ, οὓς οὗτοι ἀπώλεσαν, τελευτήσαντες τὸν βίον, πέρας ἔχουσι τῆς παρὰ τῶν ἐχθρῶν τιμωρίας. οὐκοῦν δεινὸν, εἰ τῶν μὲν ἀδίκως τεθνεώτων οἱ φίλοι συναπώλλυντο, αὐτοῖς δὲ τοῖς τὴν πόλιν ἀπολέσασιν, ἤ που ἐπ' ἐκφορὰν πολλοὶ ἥξουσιν, ὁπότε βοηθεῖν τοσοῦτοι παρασκευάζονται. καὶ μὲν δὴ πολὺ ῥᾷον ἡγοῦμαι εἶναι, ὑπὲρ ὧν ὑμεῖς ἐπάσχετε ἀντειπεῖν, ἢ περὶ ὧν οὗτοι πεποιήκασιν ἀπολογήσασθαι. καίτοι λέγουσιν, ὡς Ἐρατοσθένει ἐλάχιστα τῶν τριάκοντα κακὰ εἰργασται, καὶ διὰ τοῦτο αὐτὸν ἀξιοῦσι σωθῆναι. ὅτι δὲ τῶν ἄλλων Ἑλλήνων πλεῖστα εἰς ὑμᾶς ἐξημάρτηκεν, οὐκ οἴονται χρῆναι αὐτὸν ἀπολέσθαι· ὑμεῖς δὲ δείξατε, ἥντινα γνώμην ἔχετε περὶ τῶν πραγμάτων. εἰ μὲν γὰρ τούτου καταψηφιεῖσθε, δῆλοι ἔσεσθε ὡς ὀργιζόμενοι τοῖς πεπραγμένοις· εἰ δὲ ἀποψηφιεῖσθε, ὀφθήσεσθε τῶν αὐτῶν ἔργων ἐπιθυμηταὶ τούτοις ὄντες, καὶ οὐχ ἕξετε λέγειν, ὅτι τὰ ὑπὸ τῶν τριάκοντα προσταχθέντα ἐποιεῖτε. νυνὶ μὲν γὰρ οὐδεὶς ὑμᾶς ἀναγκάζει παρὰ τὴν ὑμετέραν γνώμην ἀποψηφίζεσθαι. ὥστε συμβουλεύω, μὴ τούτων ἀποψηφισαμένους, ὑμῶν αὐτῶν καταψηφίσασθαι. μηδ' οἴε-

σθε κρύβδην τὴν ψῆφον· φανερὰν γὰρ τῇ π
τὴν ὑμετέραν γνώμην ποιήσετε.

Βούλομαι δὲ ὀλίγα ἑκατέρους ἀναμνήσας, κα
βαίνειν, τούς τε ἐξ ἄστεος καὶ τοὺς ἐκ Πειρα
ἵνα τὰς ὑμῖν διὰ τοῦτον γεγενημένας συμφορὰς
ραδείγματα ἔχοντες, τὴν ψῆφον φέρητε. καὶ π
τον μὲν ὅσοι ἐξ ἄστεος ἐστὲ, σκέψασθε, ὅτι ὑπὸ
των οὕτω σφόδρα ἤρχεσθε, ὥστε ἀδελφοῖς καὶ υ
καὶ πολίταις ἠναγκάζεσθε πολεμεῖν τοιοῦτον π
μον, ἐν ᾧ ἡττηθέντες μὲν, τοῖς νικήσασι τὸ ἴσο
χετε, νικήσαντες δ' ἂν, τούτοις ἐδουλεύετε.
τοὺς ἰδίους οἴκους οὗτοι μὲν ἂν ἐκ τῶν πραγμά
μεγάλους ἐκτήσαντο, ὑμεῖς δὲ διὰ τὸν πρὸς ἀ
λους πόλεμον ἐλάττους εἴχετε. συνωφελεῖσθαι
γὰρ ὑμᾶς οὐκ ἠξίουν, συνδιαβάλλεσθαι δ' ἠνά
ζον· εἰς τοσοῦτον ὑπεροψίας ἐλθόντες, ὥστε οὐ
ἀγαθῶν κοινούμενοι, πιστοὺς ὑμᾶς ἐκτῶντο, ἀ
τῶν ὀνειδῶν μεταδιδόντες, εὐνους ᾠοντο εἶναι. ἃ
ὧν ὑμεῖς νῦν ἐν τῷ θαῤῥαλέῳ ὄντες, καθόσον
νασθε, καὶ ὑπὲρ ὑμῶν αὐτῶν καὶ ὑπὲρ τῶν ἐκ Π
ραιῶς τιμωρήσασθε. ἐνθυμηθέντες μὲν, ὅτι
τούτων πονηροτάτων ὄντων ἤρχεσθε, ἐνθυμηθέ
τες δὲ, ὅτι μετ' ἀνδρῶν νῦν ἀρίστων πολιτεύε
καὶ τοῖς πολεμίοις μίχεσθε, καὶ περὶ τῆς πό
βουλεύεσθε· ἀναμνησθέντες δὲ τῶν ἐπικούρων,
οὗτοι φύλακας τῆς σφετέρας ἀρχῆς καὶ τῆς
τέρας δουλείας εἰς τὴν ἀκρόπολιν κατέστησαν.
πρὸς ὑμᾶς μὲν, ἔτι πολλῶν ὄντων εἰπεῖν, τοσ
τα λέγω. ὅσοι δ' ἐκ Πειραιῶς ἐστε, πρῶτον

τῶν ὅπλων ἀναμνήσθητε, ὅτι πολλὰς μάχας ἐν τῇ ἀλλοτρίᾳ μαχεσάμενοι, οὐχ ὑπὸ τῶν πολεμίων, ἀλλ' ὑπὸ τούτων, εἰρήνης οὔσης, ἀφῃρέθητε τὰ ὅπλα· ἔπειθ', ὅτι ἐξεκηρύχθητε μὲν ἐκ τῆς πόλεως, ἣν ὑμῖν οἱ πατέρες παρέδοσαν, φεύγοντας δὲ ὑμᾶς ἐκ τῶν πόλεων ἐξῃτοῦντο. ἀνθ' ὧν ὀργίσθητε μέν, ὥσπερ ὅτ' ἐφεύγετε· ἀναμνήσθητε δὲ καὶ τῶν ἄλλων κακῶν, ἃ πεπόνθατε ὑπ' αὐτῶν· οἳ τοὺς μὲν ἐκ τῆς ἀγορᾶς, τοὺς δ' ἐκ τῶν ἱερῶν συναρπάζοντες βιαίως ἀπέκτειναν. τοὺς δὲ, ἀπὸ τέκνων καὶ γονέων καὶ γυναικῶν ἀφέλκοντες, φονέας αὑτῶν ἠνάγκασαν γενέσθαι, καὶ οὐδὲ ταφῆς τῆς νομιζομένης εἴασαν τυχεῖν· ἡγούμενοι τὴν αὐτῶν ἀρχὴν βεβαιοτέραν εἶναι τῆς παρὰ τῶν θεῶν τιμωρίας. ὅσοι δὲ τὸν θάνατον διέφυγον, πολλαχοῦ κινδυνεύσαντες, καὶ εἰς πολλὰς πόλεις πλανηθέντες, καὶ πανταχόθεν ἐκκηρυττόμενοι, ἐνδεεῖς ὄντες τῶν ἐπιτηδείων, οἱ μὲν ἐν πολεμίᾳ τῇ πατρίδι τοὺς παῖδας καταλιπόντες, οἱ δ' ἐν ξένῃ γῇ, πολλῶν ἐναντιουμένων, ἦλθετε εἰς τὸν Πειραιᾶ. πολλῶν δὲ καὶ μεγάλων κινδύνων ὑπαρξάντων, ἄνδρες ἀγαθοὶ γενόμενοι, τοὺς μὲν ἠλευθερώσατε, τοὺς δ' εἰς τὴν πατρίδα κατηγάγετε. εἰ δὲ ἐδυστυχήσατε καὶ τούτων ἡμάρτετε, αὐτοὶ μὲν ἂν δείσαντες ἐφεύγετε, μὴ πάθητε τοιαῦτα, οἷα καὶ πρότερον· καὶ οὔτε ἂν ἱερὰ, οὔτε βωμοὶ ὑμᾶς ἀδικουμένους διὰ τοὺς τούτων τρόπους ὠφέλησαν, ἃ καὶ τοῖς ἀδικοῦσι σωτήρια γίνεται· οἱ δὲ παῖδες ὑμῶν, ὅσοι μὲν ἐνθάδε ἦσαν, ὑπὸ τούτων ἂν ὑβρίζοντο· οἱ



ΛΥΣΙΟΥ

ΚΑΤΑ ΑΓΟΡΑΤΟΥ ΕΝΔΕΙΞΕΩΣ

Προσήκει μέν, ὦ ἄνδρες δικασταὶ, πᾶσιν ὑμῖν, τιμωρεῖν ὑπὲρ τῶν ἀνδρῶν, οἳ ἀπέθανον εὖνοι ὄν-τας τῷ πλήθει τῷ ὑμετέρῳ· προσήκει δὲ μάλιστα. κηδεστὴς γάρ μοι ἦν Διονυσόδωρος καὶ ἄνε-φὸς· τυγχάνει οὖν μοι ἡ αὐτὴ ἔχθρα πρὸς Ἀγόρα-τουτονὶ καὶ τῷ πλήθει τῷ ὑμετέρῳ ὑπάρχουσα. κεῖ γάρ οὗτος τοιαῦτα, δι' ἃ ὑπ' ἐμοῦ νυνὶ εἰ-ς μισεῖται· ὑπό τε ὑμῶν, ἂν θεὸς θέλῃ, δι-τιμωρηθήσεται. Διονυσόδωρον γάρ, τὸν ἐμόν, καὶ ἕτερους πολλοὺς, τὸν κη-α ἀκούσεσθε, ἄνδρας ἀ-ος τὸ ὑμέτερο-

Ἀθηναῖοι, ἐξ ἀρχῆς τῶν πραγμάτων ἁπάντων ἀκοῦσαι· ἵν' εἰδῆτε, πρῶτον μὲν, ᾧ τρόπῳ ὑμῖν ἡ δημοκρατία κατελύθη, καὶ ὑφ' ὅτου· ἔπειτα, ᾧ τρόπῳ οἱ ἄνδρες ὑπ' Ἀγοράτου ἀπέθανον, καὶ δὴ ὅ, τι ἀποθνήσκειν μέλλοντες ἐπέσκηψαν. ἅπαντα γὰρ ταῦτα ἀκριβῶς ἂν μαθόντες ἥδιον καὶ δσιώτερον Ἀγοράτου τουτουῒ καταψηφίζοισθε. ὅθεν οὖν ἡμεῖς τε ῥᾷστα διδάξομεν, καὶ ὑμεῖς μαθήσεσθε, ἐντεῦθεν ὑμῖν ἄρξομαι διηγεῖσθαι. ἐπειδὴ γὰρ αἱ νῆες αἱ ὑμέτεραι διεφθάρησαν, καὶ τὰ πράγματα ἐν τῇ πόλει ἀσθενέστερα ἐγεγέννητο, οὐ πολλῷ χρόνῳ ὕστερον αἵ τε νῆες αἱ Λακεδαιμονίων ἐπὶ τὸν Πειραιᾶ ἀφικνοῦνται, καὶ ἅμα λόγοι πρὸς Λακεδαιμονίους περὶ τῆς εἰρήνης ἐγίγνοντο. ἐν δὲ τῷ χρόνῳ τούτῳ οἱ βουλόμενοι νεώτερα πράγματα ἐν τῇ πόλει γίγνεσθαι, ἐπεβούλευον· νομίζοντες κάλλιστον καιρὸν εἰληφέναι, καὶ μάλιστα ἐν τῷ τότε χρόνῳ, τὰ πράγματα, ὡς αὐτοὶ ἠβούλοντο, καταστήσασθαι. ἡγοῦντο δὲ οὐδὲν ἄλλο σφίσιν ἐμποδὼν εἶναι, ἢ τοὺς τοῦ δήμου προεστηκότας, καὶ τοὺς στρατηγοῦντας καὶ ταξιαρχοῦντας. τούτους οὖν ἐβούλοντο ἀμωγήπως ἐκποδὼν ποιήσασθαι, ἵνα ῥᾳδίως ἃ βούλοιντο, διαπράττοιντο. πρῶτον μὲν οὖν Κλεοφῶντι ἐπέθεντο ἐκ τρόπου τοιούτου. ὅτε γὰρ ἡ πρώτη ἐκκλησία περὶ τῆς εἰρήνης ἐγίγνετο, καὶ οἱ παρὰ Λακεδαιμονίων ἥκοντες ἔλεγον, ἐφ' οἷς ἕτοιμοι εἶεν τὴν εἰρήνην ποιεῖσθαι Λακεδαιμόνιοι, εἰ κατασκαφείη τῶν τειχῶν τῶν μακρῶν ἐπὶ δέκα στάδια ἑκατέρου· τότε ὑμεῖς τε, ὦ ἄνδρες Ἀθηναῖοι, οὐκ ἠνέσχεσθε

ἀκούσαντες περὶ τῶν τειχῶν τῆς κατασκαφῆς, Κλεοφῶν τε ὑπὲρ ὑμῶν πάντων ἀναστὰς ἀντεῖπεν, ὡς οὐδενὶ τρόπῳ οἷόν τε εἴη ποιεῖν ταῦτα. μετὰ δὲ ταῦτα Θηραμένης, ἐπιβουλεύων τῷ πλήθει τῷ ὑμετέρῳ, ἀναστὰς λέγει, ὅτι, ἐὰν αὐτὸν ἕλησθε περὶ τῆς εἰρήνης πρεσβευτὴν αὐτοκράτορα, ποιήσει, ὥστε μήτε τῶν τειχῶν διελεῖν, μήτε ἄλλο τὴν πόλιν ἐλαττῶσαι μηδέν· οἴοιτο δὲ καὶ ἄλλό τι ἀγαθὸν παρὰ Λακεδαιμονίων τῇ πόλει εὑρήσεσθαι. πεισθέντες δὲ ὑμεῖς εἵλεσθε ἐκεῖνον πρεσβευτὴν αὐτοκράτορα, ὃν τῷ προτέρῳ ἔτει στρατηγὸν χειροτονηθέντα ἀπεδοκιμάσατε, οὐ νομίζοντες εὖνουν εἶναι τῷ πλήθει τῷ ὑμετέρῳ. ἐκεῖνος μὲν οὖν ἐλθὼν εἰς Λακεδαίμονα, ἔμενεν ἐκεῖ πολὺν χρόνον, καταλιπὼν ὑμᾶς πολιορκουμένους· εἰδὼς τὸ ὑμέτερον πλῆθος ἐν ἀπορίᾳ ἐχόμενον, καὶ διὰ τὸν πόλεμον καὶ τὰ κακὰ τοὺς πολλοὺς τῶν ἐπιτηδείων ἐνδεεῖς ὄντας· νομίζων, εἰ διαθείη ὑμᾶς ἀπόρως, ὥσπερ διέθηκεν, ἀσμένως ὁποιαντινοῦν ἐθελῆσαι ἂν εἰρήνην ποιήσασθαι. οἱ δ' ἐνθάδε ὑπομένοντες καὶ ἐπιβουλεύοντες καταλῦσαι τὴν δημοκρατίαν, εἰς ἀγῶνα Κλεοφῶντα καθιστᾶσι· πρόφασιν μέν, ὅτι οὐκ ἦλθεν εἰς τὰ ὅπλα ἀναπαυσόμενος· τὸ δ' ἀληθὲς, ὅτι ἀντεῖπεν ὑπὲρ ὑμῶν, μὴ καθαιρεῖν τὰ τείχη. ἐκείνῳ μὲν οὖν δικαστήριον παρασκευάσαντες, καὶ εἰσελθόντες οἱ βουλόμενοι ὀλιγαρχίαν καταστήσασθαι, ἀπέκτειναν ἐν τῇ προφάσει ταύτῃ. Θηραμένης δὲ ὕστερον ἀφικνεῖται ἐκ Λακεδαίμονος· προσιόντες δ' αὐτῷ τῶν τε στρατηγῶν τινες καὶ τῶν ταξιαρχῶν, (ὧν ἦν

Στρομβιχίδης καὶ Διονυσόδωρος,) καὶ ἄλλοι τινὲς τῶν πολιτῶν εὐνοοῦντες ὑμῖν (ὡς γ' ἐδήλωσαν ὕστερον) ἠγανάκτουν σφόδρα. ἦλθε γὰρ φέρων εἰρήνην τοιαύτην, ἣν ἡμεῖς ἔργῳ μαθόντες ἔγνωμεν. πολλοὺς γὰρ τῶν πολιτῶν καὶ ἀγαθοὺς ἀπωλέσαμεν, καὶ αὐτοὶ ὑπὸ τῶν τριάκοντα ἐξηλάθημεν. ἦν γὰρ ἀντὶ μὲν τοῦ ἐπὶ δέκα στάδια τῶν μακρῶν τειχῶν διελεῖν, ὅλα τὰ μακρὰ τείχη διασκάψαι· ἀντὶ δὲ τοῦ ἄλλό τι ἀγαθὸν τῇ πόλει εὑρέσθαι, τάς τε ναῦς παραδοῦναι τοῖς Λακεδαιμονίοις, καὶ τὸ περὶ τὸν Πειραιᾶ τεῖχος περιελεῖν. ὁρῶντες δὲ οὗτοι οἱ ἄνδρες ὀνόματι μὲν εἰρήνην λεγομένην, τῷ δ' ἔργῳ τὴν δημοκρατίαν καταλυομένην, οὐκ ἔφασαν ἐπιτρέψειν ταῦτα γενέσθαι· οὐκ ἐλεοῦντες, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ τείχη, εἰ πεσεῖται, οὐδὲ κηδόμενοι τῶν νηῶν, εἰ Λακεδαιμονίοις παραδοθήσονται, (οὐδὲν γὰρ αὐτοῖς τούτων πλεῖον ἢ ὑμῶν ἑκάστῳ προσῆκεν) ἀλλ' αἰσθόμενοι, ἐκ τοῦ τρόπου τούτου τὸ ὑμετέρου πλῆθος καταλυθησόμενον. οὐδ' (ὡς φασί τινες) οὐκ ἐπιθυμοῦντες εἰρήνην γίγνεσθαι, ἀλλὰ βουλόμενοι βελτίω ταύτης εἰρήνην τῷ δήμῳ τῶν Ἀθηναίων ποιήσασθαι. ἐνόμιζον δὲ δυνήσεσθαι. καὶ ἔπραξαν ταῦτα, εἰ μὴ ὑπ' Ἀγοράτου τουτουῖ ἀπώλοντο γνοὺς δὲ ταῦτα Θηραμένης, καὶ οἱ ἄλλοι οἱ ἐπιβουλεύοντες ὑμῖν, ὅτι εἰσί τινες, οἳ κωλύσουσι τὸν μον καταλυθῆναι, καὶ ἐναντιώσονται περὶ τῆς Θερίας, εἵλοντο, πρὶν τὴν ἐκκλησίαν τὴν περ εἰρήνης γενέσθαι, τούτους πρῶτον εἰς διαβολὰ κινδύνους καταστῆσαι· ἵνα μηδεὶς ἐκεῖ ὑπὲ

ὑμετέρου πλήθους ἀντιλέγῃ. ἐπιβουλὴν οὖν τοιαύτην ἐπιβουλεύουσι. πείθουσι γὰρ Ἀγόρατον τουτονὶ μηνυτὴν κατὰ τῶν στρατηγῶν καὶ τῶν ταξιαρχῶν γενέσθαι· οὐ ξυνειδότα ἐκείνοις, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδέν. οὐ γὰρ δήπου ἐκεῖνοι οὕτως ἀνόητοι ἦσαν καὶ ἄφιλοι, ὥστε περὶ τηλικούτων ἂν πραγμάτων [πράττοντες,] Ἀγόρατον, ὡς πιστὸν καὶ εὔνουν, δοῦλον, καὶ ἐκ δούλων ὄντα, παρεκάλεσαν· ἀλλ' ἐδόκει αὐτοῖς οὗτος ἐπιτήδειος εἶναι μηνυτής. ἐβούλοντο οὖν ἄκοντα δοκεῖν αὐτὸν καὶ μὴ ἑκόντα μηνύειν, ὅπως πιστότερα ὑμῖν ὑποφαίνοιτο. ὡς δὲ ἑκὼν ἐμήνυσε, καὶ ὑμᾶς οἶμαι ἐκ τῶν πεπραγμένων αἰσθήσεσθαι. ἐκπέμπουσι γὰρ εἰς τὴν βουλὴν τὴν πρὸ τῶν τριάκοντα βουλεύουσαν Θεόκριτον τὸν τοῦ Ἐλαφοστίκτου καλούμενον. ὁ δὲ Θεόκριτος οὗτος ἑταῖρος ἦν τῷ Ἀγοράτῳ καὶ ἐπιτήδειος. ἡ δὲ βουλὴ ἡ πρὸ τῶν τριάκοντα βουλεύουσα διέφθαρτο, καὶ ὀλιγαρχίας ἐπεθύμει, ὡς ἴστε, μάλιστα. τεκμήριον δέ· οἱ γὰρ πολλοὶ ἐξ ἐκείνης τῆς βουλῆς τὴν ὑστέραν βουλὴν τὴν ἐπὶ τῶν τριάκοντα ἐβούλευον. τοῦ δ' ἕνεκα ταῦτα λέγω ὑμῖν; ἵν' εἰδῆτε, ὅτι τὰ ψηφίσματα ἐξ ἐκείνης τῆς βουλῆς οὐκέτι εὐνοίᾳ τῇ ὑμετέρᾳ, ἀλλ' ἐπὶ καταλύσει τοῦ δήμου τοῦ ὑμετέρου ἅπαντα ἐλέγετο, καὶ ὡς τοιούτοις οὖσιν αὐτοῖς τὸν νοῦν ἦσσον προσέχητε. εἰσελθὼν δὲ εἰς ταύτην τὴν βουλὴν ἐν ἀποῤῥήτῳ Θεόκριτος μηνύει, ὅτι συλλέγονται τινὲς ἐναντιωσόμενοι τοῖς τότε καθισταμένοις πράγμασι. τὰ μὲν οὖν ὀνόματα οὐκ ἔφη αὐτῶν ἐρεῖν καθ' ἕκαστον. ὅρκους τε γὰρ ὀμωμοκέναι τοὺς αὐ-

τοὺς ἐκείνους, καὶ εἶναι ἑτέρους, οἳ ἐροῦσι τὰ
ματα· αὐτὸς δὲ οὐκ ἄν ποτε ποιῆσαι ταῦτα. κ
εἰ μὴ ἐκ παρασκευῆς ἐμηνύετο, πῶς οὐκ ἂν ἠνά
σεν ἡ βουλὴ εἰπεῖν τὰ ὀνόματα Θεόκριτον, κα
ἀνώνυμον τὴν μήνυσιν ποιήσασθαι;*** νυνὶ τ
τὸ ψήφισμα ψηφίσεσθαι. ἐπειδὴ τοίνυν τοῦτο τὸ
φισμα ἐψηφίσθη, κατέρχονται ἐπὶ τὸν Ἀγόρατ
τὸν Πειραιᾶ οἱ διαιρεθέντες τῶν βουλευτῶν,
περιτυχόντες αὐτῷ ἐν ἀγορᾷ, ἐζήτουν ἄγειν. π
γενόμενος δὲ Νικίας καὶ Νικομένης, καὶ ἄλλο
νες, ὁρῶντες τὰ πράγματα οὐχ οἷα βέλτιστα
πόλει ὄντα, ἄγειν μὲν τὸν Ἀγόρατον οὐκ ἔφ
προήσεσθαι· ἀφῃροῦντο δὲ, καὶ ἠγγυῶντο καὶ
λόγουν παρέξειν εἰς τὴν βουλήν. γραψάμενοι
βουλευταὶ τὰ ὀνόματα τῶν ἐγγυωμένων, καὶ
όντων, ἀπιόντες ᾤχοντο εἰς ἄστυ. ὁ δὲ Ἀγό
καὶ οἱ ἐγγυηταὶ καθίζουσιν ἐπὶ τὸν βωμὸν Μ
χιάσιν· ἐπειδὴ δὲ ἐκίνησαν, ἐβουλεύοντο, τ
ποιεῖν. ἐδόκει οὖν τοῖς ἐγγυηταῖς καὶ τοῖς
ἅπασιν ἐκποδὼν ποιῆσαι τὸν Ἀγόρατον ὡς τά
καὶ παρορμίσαντες δύο πλοῖα Μουνυχιάσιν,
το αὐτοῦ παντὶ τρόπῳ ἀπελθεῖν Ἀθήνηθεν· κ
τοὶ ἔφασαν συνεκπλευσεῖσθαι, ἕως τὰ πράγ
κατασταίη· λέγοντες, ὅτι, εἰ κομισθείη εἰς τὴν
λην, βασανιζόμενος ἴσως ἀναγκασθήσεται ὀν
εἰπεῖν Ἀθηναίων, ὧν ἂν ὑποβάλλωσιν οἱ βο
νοι κακόν τι ἐν τῇ πόλει ἐργάζεσθαι. ταῦτα
νων δεομένων, καὶ παρασκευασάντων πλοῖα
αὐτῶν ἑτοίμων ὄντων συνεκπλεῖν, οὐκ ἠθέλησ

θεσθαι αὐτοῖς Ἀγόρατος οὗτοσί. καίτοι, ὦ Ἀγόρατε, εἰ μή τι σοὶ ἦν παρεσκευασμένον, καὶ ἐπίστευες μηδὲν κακὸν πείσεσθαι, πῶς οὐκ ἂν ᾤχου, καὶ πλοῖον παρεσκευασμένων, καὶ τῶν ἐγγυητῶν ἑτοίμων ὄντων σοι συνεκπλεῖν; ἔτι γὰρ οἷόν τέ σοι ἦν, καὶ οὔπω ἡ βουλὴ σου ἐκράτει. ἀλλὰ μὲν δὴ οὐχ ὁμοιά γε σοὶ καὶ ἐκείνοις ὑπῆρχε. πρῶτον μέν γε Ἀθηναῖοι ἦσαν· ὥστε οὐκ ἐδεδίεσαν βασανισθῆναι· ἔπειτα πατρίδα σφετέραν αὐτῶν καταλιπόντες, ἕτοιμοι ἦσαν συνεκπλεῖν μετά σου· ἡγησάμενοι ταῦτα μᾶλλον λυσιτελεῖν, ἢ τῶν πολιτῶν πολλοὺς καὶ ἀγαθοὺς ὑπό σου ἀδίκως ἀπολέσθαι. σοὶ δὲ πρῶτον μὲν κίνδυνος ἦν βασανισθῆναι ὑπομείναντι· ἔπειτα οὐ πατρίδα ἂν σαυτοῦ ἀπέλιπες· ὥστε ἐκ παντὸς τρόπου σοὶ μᾶλλον ἢ ἐκείνοις ἐκπλεῦσαι συνέφερεν, εἰ μή τι ἦν, ὦ ἐπίστευες. νῦν δὲ ἄκων μὲν προσποιῇ, ὧν δὲ πολλοὺς καὶ ἀγαθοὺς Ἀθηναίων ἀπέκτεινας. τε παρεσκευάσθη ἅπαντα ἃ ἐγὼ λέγω· καὶ μάρτυρές εἰσι, καὶ αὐτὸ τὸ ψήφισμα σοῦ τὸ τῆς βουλῆς ταμαρτυρήσει. ΨΗΦΙΣΜΑ. Ἐπειδὴ τοίνυν τοῦτο ψήφισμα ἐψηφίσθη, καὶ ἦλθον οἱ ἐκ τῆς βουλῆς Μουνυχίαζε, ἐκὼν ἀνέστη Ἀγόρατος ἀπὸ τοῦ οὗ. καίτοι νῦν γε βίᾳ φησὶν ἀφαιρεθῆναι. ἐπὶ δὲ εἰς τὴν βουλὴν ἐκομίσθησαν, ἀπογράφει ατος, πρῶτον μὲν τῶν αὐτοῦ ἐγγυητῶν τὰ ὀνό-, ἔπειτα τῶν στρατηγῶν καὶ τῶν ταξιαρχῶν· δὲ καὶ ἄλλων τινῶν πολιτῶν. ἡ δὲ ἀρχὴ αὕπαντὸς κακοῦ ἐγένετο. ὡς δὲ ἀπέγραψε τὰ α, οἶμαι μὲν καὶ αὐτὸν ὁμολογήσειν. εἰ δὲ

μὴ, ἐπ' αὐτοφώρῳ ἐγὼ αὐτὸν ἐξελέγξω. ἀπόκρινα δή μοι. ἐβούλοντο τοίνυν, ὦ ἄνδρες δικασταὶ, ἔτι πλειόνων αὐτὸν τὰ ὀνόματα ἀπογράψαι· οὕτω σφόδρα ἔρρωτο ἡ βουλὴ κακόν τι ἐργάζεσθαι· αὐτὸς δ' οὐκ ἐδόκει αὐτοῖς ἅπαντα ταλῆθῆ πω κατηγορηκέναι. τούτους μὲν οὖν ἅπαντας ἐκὼν ἀπογράφει, οὐδεμιᾶς αὐτῷ ἀνάγκης οὔσης. μετὰ τοῦτο προσαπογράφει ἑτέρους τῶν πολιτῶν. ἐπειδὴ δὲ ἡ ἐκκλησία Μουνυχιάσιν ἐν τῷ θεάτρῳ ἐγίγνετο, οὕτω σφόδρα τινὲς ἐπεμελοῦντο, ὅπως καὶ ἐν τῷ δήμῳ περὶ τῶν στρατηγῶν καὶ τῶν ταξιαρχῶν μήνυσις γένοιτο· περὶ δὲ τῶν ἄλλων ἀπέχρη ἐν τῇ βουλῇ μήνυσις ἡ γεγενημένη. ὥστε καὶ ἐκεῖ παράγουσιν εἰς τὸν δῆμον. καί μοι ἀπόκριναι, ὦ Ἀγόρατε. ἀλλ' οἶμαί σε ἔξαρνον γενέσθαι ἃ ἐναντίον Ἀθηναίων ἅπάντων ἐποίησας. ὁμολογεῖ μὲν καὶ αὐτὸς, ὅμως δὲ καὶ τὰ ψηφίσματα ὑμῖν τοῦ δήμου ἀναγνώσεται. ΨΗΦΙΣΜΑ. Ὅτι μὲν ἀπέγραψεν Ἀγόρατος οὗτοσὶ τῶν ἀνδρῶν ἐκείνων τὰ ὀνόματα, καὶ τὰ ἐν τῇ βουλῇ καὶ τὰ ἐν τῷ δήμῳ, καὶ ἐστὶ φονεὺς ἐκείνων, σχεδόν τι οἶμαι ὑμᾶς ἐπίστασθαι. ὡς τοίνυν ἁπάντων τῶν κακῶν αἴτιος τῇ πόλει ἐγένετο, καὶ οὐδ' ὑφ' ἑνὸς αὐτὸν προσήκει ἐλεεῖσθαι, ἐγὼ οἶμαι ὑμῖν κεφαλαίοις ἀποδείξειν. ἐπειδὴ γὰρ ἐκεῖνοι συλλαφθέντες ἐδέθησαν, τότε καὶ ὁ Λύσανδρος εἰς τοὺς λιμένας τοὺς ὑμετέρους εἰσέπλευσε, καὶ αἱ νῆες ὑμέτεραι Λακεδαιμονίοις παρεδόθησαν, καὶ τὰ τείχη κατεσκάφησαν, καὶ οἱ τριάκοντα κατέστησαν καὶ τοιοῦτον δεινὸν τῇ πόλει ἐγένετο. ἐπειδὴ τ

οἱ τριάκοντα κατεστάθησαν, εὐθέως κρίσιν τοῖς ἀνδράσι τούτοις ἐποίουν ἐν τῇ βουλῇ· ὁ δὲ δῆμος ἐν τῷ δικαστηρίῳ ἐν δισχιλίοις ἐψηφίσατο. καί μοι ἀνάγνωθι τὸ ψήφισμα. ΨΗΦΙΣΜΑ. Εἰ μὲν οὖν ἐν τῷ δικαστηρίῳ ἐκρίνοντο, ῥᾳδίως ἂν ἐσώζοντο· ἅπαντες γὰρ ἤδη ἐγνωκότες ἦτε, οὗ ἦν κακοῦ ἡ πόλις, ἐν ᾧ οὐδὲν ἔτι ὠφελεῖν ἐδύνασθε· νῦν δ' εἰς τὴν βουλὴν αὐτοὺς τὴν ἐπὶ τῶν τριάκοντα εἰσάγουσιν. ἡ δὲ κρίσις τοιαύτη ἐγίγνετο, οἷαν καὶ ὑμεῖς αὐτοὶ ἐπίστασθε. οἱ μὲν γὰρ τριάκοντα ἐκάθηντο ἐπὶ τῶν βάθρων, οὗ νῦν οἱ πρυτάνεις καθέζονται· δύο δὲ τραπέζαι ἐν τῷ πρόσθεν τῶν τριάκοντα ἐκείσθην. τὴν δὲ ψῆφον οὐκ εἰς καδίσκους, ἀλλὰ φανερὰν ἐπὶ τὰς τραπέζας ταύτας ἔδει τίθεσθαι· τὴν μὲν καθαιροῦσαν, ἐπὶ τὴν ὑστέραν· τὴν δὲ σώζουσαν, ἐπὶ τὴν προτέραν. ὥστε ἐκ τίνος τρόπου ἔμελλέ τις αὐτῶν σωθήσεσθαι; ἑνὶ δὲ λόγῳ, ὅσοι εἰς τὸ βουλευτήριον ἐπὶ τῶν τριάκοντα εἰσῆλθον κριθησόμενοι, ἁπάντων θάνατος κατεγινώσκετο· καὶ οὐδενὸς ἀπεψηφίσαντο, πλὴν Ἀγοράτου τουτουί· τοῦτον δὲ ἀφεῖσαν, ὡς εὐεργέτην ὄντα. ἵνα δὲ εἰδῆτε, ὡς πολλοὶ ὑπὸ τούτου τεθνᾶσι, βούλομαι ὑμῖν τὰ ὀνόματα αὐτῶν ἀναγνῶναι. ἐπειδὴ τοίνυν, ὦ ἄνδρες δικασταὶ, θάνατος αὐτῶν κατεγνώσθη, καὶ ἔδει αὐτοὺς ἀποθνήσκειν, μεταπέμπονται εἰς τὸ δεσμωτήριον, ὁ μὲν ἀδελφήν· ὁ δὲ, μητέρα· ὁ δὲ, γυναῖκα· ὁ δ', εἴ τις ἦν ἑκάστῳ αὐτῶν προσήκουσα· ἵνα τὰ ὕστατα ἀσπασάμενοι τοὺς αὑτῶν, οὕτω τὸν βίον τελευτήσειαν. καὶ δὴ καὶ Διονυσόδωρος μεταπέμπεται τὴν ἀδελ-

φὴν τὴν ἐμὴν εἰς τὸ δεσμωτήριον, γυναῖκα ἑαυτ
οὖσαν. πυθομένη δ' ἐκείνη ἀφικνεῖται, μέλαν
ἱμάτιον ἠμφιεσμένη, ὡς εἰκὸς ἦν ἐπὶ τῷ ἀνδρὶ α
τῆς, τοιαύτῃ συμφορᾷ κεχρημένῳ. ἐναντίον δὲ τ
ἀδελφῆς τῆς ἐμῆς Διονυσόδωρος τά τε οἰκεῖα τὰ α
τοῦ διάθετο, ὅπως αὐτῷ ἐδόκει, καὶ περὶ Ἀγοράτ
τούτου ἔλεγεν, ὅτι αἴτιος ἦν τοῦ θανάτου· καὶ δ
σκηπτεν ἐμοὶ καὶ Διονυσίῳ τούτῳ, τῷ ἀδελφῷ
αὐτοῦ, καὶ τοῖς φίλοις πᾶσι, τιμωρεῖν ὑπὲρ αὐτ
Ἀγόρατον· καὶ τῇ γυναικὶ τῇ αὐτοῦ ἐπέσκηπτε (
μίζων αὐτὴν κύειν ἐξ αὐτοῦ) ἐὰν γένηται αὐτῇ πα
δίον, φράζειν τῷ γενομένῳ, ὅτι τὸν πατέρα αὐτ
Ἀγόρατος ἀπέκτεινε, καὶ κελεύειν τιμωρεῖν ὑπὲρ α
τοῦ, ὡς φονέα ὄντα. ὡς οὖν ἀληθῆ λέγω, μάρτ
ρας τούτων παρέξομαι. ΜΑΡΤΤΡΕΣ. Οὗτοι μ
τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ὑπ' Ἀγοράτου ἀπογρ
φέντες ἀπέθανον. ἐπεὶ δὲ τούτους ἐκποδὼν ἐποι
σαντο οἱ τριάκοντα, σχεδόν οἶμαι ὑμᾶς ἐπίστασθα
ὡς πολλὰ καὶ δεινὰ μετὰ ταῦτα τῇ πόλει ἐγένετ
ὧν οὗτος ἁπάντων αἴτιός ἐστιν, ἀποκτείνας ἐκ
νους. ἀνιῶμαι μὲν οὖν ὑπομιμνήσκων τὰς γεγενημ
νας συμφορὰς τῇ πόλει· ἀνάγκη δ' ἐστὶν, ὦ ἄνδρ
δικασταὶ, ἐν τῷ παρόντι καιρῷ, ἵν' εἰδῆτε, ὡς σφ
δρα ὑμῖν οὐκ ἐλεεῖν προσήκει Ἀγόρατον. ἴστε μ
γὰρ τοὺς ἐκ Σαλαμῖνος τῶν πολιτῶν κομισθέντα
οἷοι ἦσαν καὶ ὅσοι, καὶ οἵῳ ὀλέθρῳ ὑπὸ τῶν τρι
κοντα ἀπώλοντο. ἴστε δὲ τοὺς ἐξ Ἐλευσῖνος, (
πολλοὶ ταύτῃ τῇ συμφορᾷ ἐχρήσαντο. μέμνησθε
καὶ τοὺς ἐνθάδε διὰ τὰς ἰδίας ἔχθρας ἀπαγομένο

εἰς τὸ δεσμωτήριον. οἳ οὐδὲν κακὸν τὴν πόλιν ποιήσαντες, ἠναγκάζοντο αἰσχίστῳ καὶ ἀκλεεστάτῳ ὀλέθρῳ ἀπόλλυσθαι· οἱ μέν, γονέας σφετέρους αὐτῶν πρεσβύτας καταλιπόντες, οἳ ἤλπιζον ὑπὸ τῶν σφετέρων αὐτῶν παίδων γηροτροφηθέντες, ἐπειδὴ τελευτήσαιεν τὸν βίον, ταφήσεσθαι· οἱ δὲ ἀδελφὰς ἀνεκδότους· οἱ δὲ, παῖδας μικροὺς πολλῆς ἔτι θεραπείας δεομένους. οὓς, ὦ ἄνδρες δικασταὶ, ποίαν τινὰ οἴεσθε γνώμην περὶ τούτου ἔχειν, ἢ ποίαν τινὰ ἂν ψῆφον θέσθαι, εἰ ἐπ' ἐκείνοις γένοιτο, ἀποστερηθέντας διὰ τοῦτον τῶν ἡδίστων; ἔτι δὲ τὰ τείχη ὡς κατεσκάφη, καὶ αἱ νῆες τοῖς πολεμίοις παρεδόθησαν, καὶ τὰ νεώρια καθῃρέθη, καὶ Λακεδαιμόνιοι τὴν ἀκρόπολιν ὑμῶν εἶχον, καὶ ἡ δύναμις ἅπασα τῆς πόλεως παρελύθη, ὥστε μηδὲν διαφέρειν τῆς ἐλαχίστης πόλεως τὴν πόλιν. πρὸς δὲ τούτοις, τὰς ἰδίας οὐσίας ἀπωλέσατε. καὶ τὸ τελευταῖον, συλλήβδην ἅπαντες ὑπὸ τῶν τριάκοντα ἐκ τῆς πατρίδος ἐξηλάθητε. ταῦτα ἐκεῖνοι οἱ ἀγαθοὶ ἄνδρες αἰσθόμενοι, οὐκ ἔφασαν ἐπιτρέψαι τὴν εἰρήνην, ὦ ἄνδρες δικασταὶ, ποιήσασθαι. οὓς σὺ, Ἀγόρατε, βουλομένους ἀγαθόν τι πρᾶξαι τῇ πόλει, ἀπέκτεινας, μηνύσας αὐτοὺς τῇ βουλῇ, ἐπιβουλεύειν τῷ πλήθει τῷ ἡμετέρῳ, καὶ αἴτιος εἶ ἁπάντων τῇ πόλει τῶν κακῶν τῶν γεγενημένων. νῦν οὖν μνησθέντες καὶ τῶν ἰδίων ἕκαστος δυστυχημάτων, καὶ τῶν κοινῶν τῆς πόλεως, τιμωρεῖσθε τὸν αἴτιον τούτων.

Θαυμάζω δ' ἔγωγε, ὦ ἄνδρες δικασταὶ, ὅ, τι ποτὲ τολμήσει πρὸς ὑμᾶς ἀπολογεῖσθαι· δεῖ γὰρ αὐ-

τὸν ἀποδεῖξαι, ὡς οὐ κατεμήνυσε τῶν ἀνδρῶν τοὺ-
των, οὐδ' αἴτιος αὐτοῖς ἐστι τοῦ θανάτου. ὃ οὐκ
ἂν δύναιτο οὐδέποτε ἀποδεῖξαι. πρῶτον μὲν γὰρ
τὰ ψηφίσματα αὐτοῦ τὰ ἐκ τῆς βουλῆς καὶ τοῦ δή-
μου καταμαρτυρεῖ, διαῤῥήδην ἀγορεύοντα περὶ ὧν
Ἀγύρατος κατείρηκεν. ἔπειτα ἡ κρίσις, ἣν ἐκρίθη
ἐπὶ τῶν τριάκοντα καὶ ἀφείθη, διαῤῥήδην λέγει,
Διότι (φησὶν) ἔδοξε ταλιθῆ εἰσαγγεῖλαι. καὶ μοι
ἀνάγνωθι τὰ ψηφίσματα καὶ τὰς γραφάς. ΨΗ-
ΦΙΣΜΑΤΑ. ΓΡΑΦΑΙ. Ὡς μὲν οὖν οὐκ ἀπέγρα-
ψεν, οὐδενὶ τρόπῳ δύναιτ' ἂν ἀποδεῖξαι. δεῖ τοίνυν
αὐτὸν, ὡς δικαίως ἐμήνυσε ταῦτα, ἀποφαίνειν, ὁρῶν
αὐτοὺς πονηρὰ καὶ οὐκ ἐπιτήδεια τῷ δήμῳ τῷ ὑμε-
τέρῳ πράττοντας. οἶομαι δ' οὐκ ἂν τοῦτό γ' αὐτὸν
ἐπιχειρῆσαι ἀποδεικνύναι. οὐ γὰρ δήπου, εἴ τι κα-
κὸν τὸν δῆμον τῶν Ἀθηναίων εἰργάσαντο, οἱ τριά-
κοντα, δεδιότες μὴ καταλυθείη ἂν ὁ δῆμος, τιμω-
ρούμενοι ὑπὲρ τοῦ δήμου ἂν αὐτοὺς ἀπέκτειναν. ἀλλ'
οἶμαι πολὺ τοὐναντίον τούτου. ἀλλ' ἴσως φήσει ἄ-
κων τοσαῦτα κακὰ ἐργάσασθαι. ἐγὼ δ' οὐκ οἶμαι,
ὦ ἄνδρες δικασταί, οὐδὲ ἐάν τις ὑμᾶς ὡς μάλιστ
ἄκων μεγάλα κακὰ ἐργάσηται, ὧν μὴ οἷόν τε γεν
σθαι ἐστὶν ὑπερβολὴν, οὐ τούτου ἕνεκα οὐ δεῖν
μᾶς ἀμύνεσθαι. εἶτα δὲ καὶ ἐκεῖνο μεμνῆσθαι,
ξῆν Ἀγοράτῳ τούτῳ, πρὶν εἰς τὴν βουλὴν κομισ
νυι, ὅτε ἐπὶ τοῦ βωμοῦ ἐκάθητο Μουνυχιάσι,
θῆναι. καὶ γὰρ πλοῖα παρεσκεύαστο, καὶ οἱ ἐ
ται ἕτοιμοι ἦσαν συναπιέναι. καίτοι εἰ ἐκείνους
θου, καὶ ἠθέλησας ἐκπλεῦσαι μετ' ἐκείνων,

ἐκὼν, οὔτε ἄκων, τοσούτους Ἀθηναίους ἀπέκτεινας· νῦν δὲ πεισθεὶς, ὑφ' ὧν τότε ἐπείσθης, εἰ τῶν στρατηγῶν καὶ τῶν ταξιαρχῶν τὰ ὀνόματα μόνον εἴποις, μέγα τι ᾠου παρ' αὐτῶν διαπράξασθαι. οὔκουν τούτου ἕνεκα δεῖ σε παρ' ἡμῶν συγγνώμης τινὸς τυχεῖν, ἐπεὶ οὐδὲ ἐκεῖνοι παρὰ σοῦ οὐδεμιᾶς ἔτυχον, οὓς σὺ ἀπέκτεινας. καὶ Ἱππίας μὲν ὁ Θάσιος καὶ Ξενοφῶν ὁ Ἰκαριεὺς, οἳ ἐπὶ τῇ αὐτῇ αἰτίᾳ τούτῳ ὑπὸ τῆς βουλῆς μετεπέμφθησαν, οὗτοι μὲν ἀπέθανον· ὁ μὲν, στρεβλωθεὶς, Ξενοφῶν, ὁ δὲ, Ἱππίας, οὕτω· διότι οὐκ ἀνάξιοι ἐδόκουν τοῖς τριάκοντα σωτηρίας εἶναι, (οὐδένα γὰρ Ἀθηναίων ἀπώλλυσαν) Ἀγόρατος δὲ ἀφείθη, διότι ἐδόκει ἐκείνοις τὰ ἥδιστα πεποιηκέναι. Ἄκουσον δ' αὐτὸν καὶ εἰς Μενέστρατον ἀναφέρειν τι περὶ τῶν γραφῶν τούτων. τὸ δὲ τοῦ Μενεστράτου πρᾶγμα τοιοῦτον ἐγένετο. ὁ Μενέστρατος οὗτος ἀπεγράφη ὑπὸ τοῦ Ἀγοράτου, καὶ συλληφθεὶς ἐδέδετο. Ἀγνόδωρος δ' ἦν Ἀμφιτροπαιεὺς, δημότης τοῦ Μενεστράτου, Κριτίου κηδεστὴς, τοῦ τῶν τριάκοντα· οὗτοσὶ οὖν, ὅτε ἡ ἐκκλησία Μουνυχιάσιν ἐν τῷ θεάτρῳ ἐγένετο, ἅμα μὲν βουλόμενος τὸν Μενέστρατον σωθῆναι, ἅμα δὲ, ὡς πλείστους ἀπογραφέντας ἀπολέσθαι, παράγει αὐτὸν εἰς τὸν δῆμον. καὶ εὑρίσκονται αὐτῷ κατὰ τὸ ψήφισμα τοῦτο ἄδειαν. ΨΗΦΙΣΜΑ. Ἐπειδὴ δὲ τοῦτο τὸ ψήφισμα ἐγένετο, μηνύει ὁ Μενέστρατος καὶ προσαπογράφει ἑτέρους τῶν πολιτῶν. τοῦτον μέντοι οἱ μὲν τριάκοντα ἀφεῖσαν, ὥσπερ Ἀγόρατον τουτονὶ, δόξαντα ἀληθῆ εἰσαγγεῖλαι. ὑμεῖς δὲ πολ-

λῷ χρόνῳ ὕστερον, λαβόντες ἐν δικαστηρίῳ, ὡς ἀνδροφόνον ὄντα, θάνατον δικαίως καταψηφισάμενοι, τῷ δημίῳ παρέδοτε, καὶ ἀπετυμπανίσθη. καίτοι εἰ ἐκεῖνος ἀπέθανεν, ἦπου Ἀγύρατός γε δικαίως ἀποθανεῖται. ὥστε τόν τε Μενέστρατον ἀπογράψας, αἴτιος ἐκείνῳ ἐστὶ τοῦ θανάτου· καὶ τοῖς ὑπὸ Μενεστράτου ἀπογραφεῖσι τίς αἰτιώτερος, ἢ ὁ εἰς τοιαύτην ἀνάγκην ἐκεῖνον καταστήσας; ἀνόμοιος δέ μοι δοκεῖ Ἀριστοφάνει γενέσθαι τῷ Χολλίδῃ, ὃς ἐγγυητὴς τότε τούτου ἐγένετο, καὶ τὰ πλοῖα παρασκευάσας Μουνυχιάσιν ἕτοιμος ἦν συνεκπλεῖν μετὰ τούτου. καὶ τό γε ἐπ' ἐκείνῳ εἶναι, ἐσώθης, καὶ οὔτ' ἂν Ἀθηναίων οὐδένα ἀπώλεσας, οὔτ' ἂν αὐτὸς εἰς τοιούτους κινδύνους κατέστης· νῦν δὲ καὶ τὸν σωτῆρα τὸν σαυτοῦ ἐτόλμησας ἀπογράψαι, καὶ ἐπέτριψας καὶ ἐκεῖνον καὶ τοὺς ἄλλους ἐγγυητάς. τοῦτον μέντοι, ὡς οὐ καλῶς Ἀθηναῖον ὄντα, ἐβούλοντό τινὲς βασανισθῆναι· καὶ τοῦτο τὸ ψήφισμα τὸν δῆμον ἀναπεῖθουσι ψηφίζεσθαι. ΨΗΦΙΣΜΑ. μετοῦτο τοίνυν προσιόντες τῷ Ἀριστοφάνει οἱ πρατοντες τότε τὰ πράγματα, ἐδέοντο αὐτοῦ κατευτ καὶ σώζεσθαι, καὶ μὴ κινδυνεύειν, ἀγωνισάμενον ξενίας, τὰ ἔσχατα παθεῖν. ὁ δὲ οὐκ ἔφη οὐδὲπ οὕτω χρηστὸς ἦν καὶ περὶ τοὺς δεδεμένους καὶ τὸν δῆμον τῶν Ἀθηναίων, ὥστε εἵλετο μᾶλλον θανεῖν, ἢ κατειπεῖν, καὶ ἀδίκως τινὰς ἀπο ἐκεῖνος μὲν τοίνυν καὶ ὑπό σου ἀπολλύμενος, τοσοῦ ἐγένετο· καὶ Ξενοφῶν ὁ στρεβλωθεὶς, ὁ πίας ὁ Θάσιος· σὺ δ' οὐδὲν τοῖς ἀνδράσιν

συνειδὼς, πεισθεὶς δὲ, ὡς σύ γε, ἂν ἐκεῖνοι ἀπόλωνται, μεθέξεις τῆς τότε πολιτείας καθισταμένης, ἀπέγραφες, καὶ ἀπέκτεινας Ἀθηναίων πολλοὺς καὶ ἀγαθούς. βούλομαι δ' ὑμῖν, ὦ ἄνδρες δικασταὶ, ἐπιδεῖξαι, οἵων ἀνδρῶν ὑπὸ Ἀγοράτου ἀπεστέρησθε. εἰ μὲν οὖ πολλοὶ ἦσαν, καθ' ἕκαστον ἂν περὶ αὐτῶν ἠκούετε· νῦν δὲ, συλλήβδην περὶ πάντων. οἱ μὲν γὰρ στρατηγήσαντες ὑμῖν πολλάκις, μείζω τὴν πόλιν τοῖς διαδεχομένοις στρατηγοῖς παρεδίδοσαν· οἱ δ' ἑτέρας μεγάλας ἀρχὰς ἄρξαντες, καὶ τριηραρχίας πολλὰς τριηραρχήσαντες, οὐδεπώποτε ὑφ' ὑμῶν οὐδεμίαν αἰτίαν αἰσχρὰν ἔσχον. οἱ δ' αὐτῶν περιγενόμενοι καὶ σωθέντες, οὓς οὗτος μὲν ἀπέκτεινεν ὡμῶς, καὶ θάνατος αὐτῶν κατεγνώσθη, ἡ δὲ τύχη καὶ ὁ δαίμων περιεποίησε· φυγόντες [γὰρ] ἐνθένδε, καὶ οὐ συλληφθέντες, οὐδὲ ὑπομείναντες τὴν κρίσιν, κατελθόντες ἀπὸ Φυλῆς, τιμῶνται ὑφ' ὑμῶν, ὡς ἄνδρες ἀγαθοὶ ὄντες· τούτους μὲν τοιούτους ὄντας Ἀγόρατος, τοὺς μὲν ἀπέκτεινε, τοὺς δὲ φυγάδας ἐνταῦθεν ἐποίησε. τίς ὢν αὐτός; δεῖ γὰρ ὑμᾶς εἰδέναι, ὅτι δοῦλος καὶ ἐκ δούλων ἐστίν· ἵν' εἰδῆτε, οἷος ὢν ὑμᾶς ἐλυμαίνετο. τούτῳ μὲν γὰρ πατὴρ ἦν Εὐμάρης· ἐγένετο δὲ ὁ Εὐμάρης οὗτος Νικοκλέους καὶ Ἀντικλέους. καί μοι ἀνάβητε μάρτυρες. *ΜΑΡΤΥΡΕΣ.* Πολλὰ τοίνυν, ὦ ἄνδρες δικασταὶ, ὅσα κακὰ καὶ αἰσχρὰ καὶ τούτῳ καὶ τοῖς τούτου ἀδελφοῖς ἐπιτεθεύται, πολὺ ἂν εἴη ἔργον λέγειν. περὶ δὲ συκοφαντίας, ὅσας οὗτος ἢ δίκας ἰδίας συκοφαντῶν ἐδικάζετο, ἢ γραφὰς ὅσας ἐγράφετο, ἢ ἀπογραφὰς

ἀπέγραφεν, οὐδέν με δεῖ καθ' ἕκαστον λέγειν. συλλήβδην γὰρ ὑμεῖς ἅπαντες, καὶ ἐν τῷ δήμῳ καὶ ἐν τῷ δικαστηρίῳ συκοφαντίας αὐτοῦ κατέγνωτε· καὶ ὤφλησεν ὑμῖν μυρίας δραχμάς. ὥστε τούτῳ μὲν κακῶς ὑπὸ ὑμῶν ἁπάντων μεμαρτύρηται. γυναῖκας τοίνυν τῶν πολιτῶν, τοιοῦτος ὤν, μοιχεύειν καὶ διαφθείρειν ἐλευθέρας ἐπεχείρησε, καὶ ἐλήφθη μοιχός. καὶ τούτου θάνατος ἡ ζημία ἐστίν. ὡς δὲ ἀληθῆ λέγω, μάρτυρας κάλει. ΜΑΡΤΤΡΕΣ. Ἦσαν τοίνυν οὗτοι, ὦ ἄνδρες δικασταί, τέτταρες ἀδελφοί. τούτων εἷς μὲν ὁ πρεσβύτερος ἐν Σικελίᾳ παραφρυκτωρευόμενος τοῖς πολεμίοις ληφθεὶς ὑπὸ Λαμάχου ἀπετυμπανίσθη· ὁ δὲ ἕτερος εἰς Κόρινθον μὲν ἐντευθενὶ ἀνδράποδον ἐξήγαγεν· ἐκεῖθεν δὲ παιδίσκην αὐτὸς ἐξαγαγὼν ἁλίσκεται, καὶ ἐν τῷ δεσμωτηρίῳ δεδεμένος ἀπέθανε. τὸν δὲ τρίτον Φαινιππίδης ἐνθένδε λωποδύτην ἀπήγαγε· καὶ ὑμεῖς κρίναντες αὐτὸν ἐν τῷ δικαστηρίῳ, καὶ καταγνόντες αὐτοῦ θάνατον, ἀποτυμπανίσαι παρέδοτε. ὡς δὲ ἀληθῆ λέγω, καὶ αὐτὸν οἶμαι ὁμολογήσειν τοῦτον, καὶ μάρτυρας παρεξόμεθα. ΜΑΡΤΤΡΕΣ. Πῶς οὖν οὐχ ἅπασι προσήκει ὑμῖν τούτου καταψηφίζεσθαι; εἰ γὰρ τούτων ἕκαστος δι' ἓν ἁμάρτημα θανάτου ἠξιώθη, ἥπου, τούτου γε πολλὰ ἐξημαρτηκότος καὶ δημοσίᾳ εἰς τὴν πόλιν, καὶ ἰδίᾳ εἰς ἕκαστον ὑμῶν, ὧν ἑκάστου ἁμαρτήματος ἐν τοῖς νόμοις θάνατος ἡ ζημία ἐστί, δεῖ ὑμᾶς σφόδρα θάνατον αὐτοῦ καταψηφίσασθαι. λέξει δὲ, ὦ ἄνδρες δικασταί, καὶ ἐξαπατῆσαι ὑμᾶς πειράσεται, ὡς ἐπὶ τῶν τετρακοσίων

Φρύνιχον ἀπέκτεινε· καὶ ἀντὶ τούτου φησὶν αὐτὸν Ἀθηναίων τὸν δῆμον ποιήσασθαι· ψευδόμενος, ὦ ἄνδρες δικασταί. οὔτε γὰρ Φρύνιχον ἀπέκτεινεν, οὔτε Ἀθηναίων αὐτὸν ὁ δῆμος ἐποιήσατο. Φρυνίχῳ γὰρ, ὦ ἄνδρες δικασταὶ, κοινῇ Θρασύβουλός τε, ὁ Καλυδώνιος, καὶ Ἀπολλόδωρος, ὁ Μεγαρεὺς, ἐπεβούλευσαν· ἐπειδὴ δὲ ἐπετυχέτην αὐτῷ βαδίζοντι, ὁ μὲν Θρασύβουλος τύπτει τὸν Φρύνιχον, καὶ καταβάλλει πατάξας, ὁ δὲ Ἀπολλόδωρος οὐχ ἥψατο, ἀλλ' ἅμα τούτῳ κραυγὴ γίνεται, καὶ ᾠχοντο φεύγοντες. Ἀγόρατος δὲ οὐτοσὶ οὔτε παρεκλήθη, οὔτε παρεγένετο, οὔτε οἶδε τοῦ πράγματος οὐδέν. ὡς δὲ ἀληθῆ λέγω, αὐτὸ ὑμῖν τὸ ψήφισμα δηλώσει. ΨΗΦΙΣΜΑ. Ὅτι μὲν οὐκ ἀπέκτεινε Φρύνιχον, ἐξ αὐτοῦ τοῦ ψηφίσματος δῆλον. οὐδαμοῦ γάρ ἐστιν, Ἀγόρατον Ἀθηναῖον εἶναι, ὥσπερ Θρασύβουλον καὶ Ἀπολλόδωρον· καίτοι εἴπερ ἀπέκτεινε Φρύνιχον, ἔδει αὐτὸν ἐν τῇ αὐτῇ στήλῃ, ἵνα περ Θρασύβουλον καὶ Ἀπολλόδωρον, Ἀθηναῖον πεποιημένον. τὰ μέντοι ὀνόματα διαπράττονται σφῶν αὐτῶν, δύντες ἀργύριον τῷ ῥήτορι, προσγραφῆναι εἰς τὴν στήλην, ὡς εὐεργέτας ὄντας. καὶ ὡς ἀληθῆ λέγω, τοῦτο τὸ ψήφισμα ἐλέγξει. ΨΗΦΙΣΜΑ. Οὕτω μέντοι οὗτος πολὺ ὑμῶν καταφρονεῖ, ὥστε οὐκ ὢν Ἀθηναῖος, καὶ ἐδίκαζε καὶ ἐκκλησίαζε, καὶ γραφὰς τὰς ἐξ ἀνθρώπων ἐγράφετο, ἐπιγραφόμενος Ἀναγυράσιος εἶναι. ἔπειτα δὲ καὶ ἕτερον μέγα τεκμήριον, ὡς οὐκ ἂν ἀπέκτεινε Φρύνιχον, δι' ὃν Ἀθηναῖος φησὶ γεγενῆσθαι. ὁ Φρύνιχος γὰρ οὗτος τοὺς τετρακοσίους κατέστησεν·

ἐπειδὴ δ' ἐκεῖνος ἀπέθανεν, οἱ πολλοὶ τῶν τετρακοσίων ἔφυγον. πότερον σὺν δοκοῦσιν ὑμῖν οἱ τριάκοντα, καὶ ἡ βουλὴ ἡ ἐπὶ τῶν τριάκοντα βουλεύουσα, οἳ αὐτοὶ ἦσαν ἅπαντες τῶν τετρακοσίων τῶν φευγόντων, ἀφεῖναι ἄν, λαβόντες, τὸν Φρύνιχον ἀποκτείναντα, ἢ τιμωρήσασθαι ὑπὲρ Φρυνίχου, καὶ τῆς φυγῆς, ἧς αὐτοὶ ἔφυγον; ἐγὼ μὲν οἶμαι τιμωρεῖσθαι ἄν· εἰ μὲν οὖν, μὴ ἀποκτείνας, προσποιεῖται, ἀδικεῖ, ὡς ἐγώ φημι. εἰ δὲ ἀμφισβητεῖς, καὶ φὴς Φρύνιχον ἀποκτεῖναι, δῆλον, ὅτι μείζω τὸν δῆμον τῶν Ἀθηναίων κακὰ ποιήσας, τὴν ὑπὲρ Φρυνίχου αἰτίαν πρὸς τοὺς τριάκοντα ἀπελύσω. οὐδέποτε γὰρ πείσεις οὐδένα ἀνθρώπων, ὡς Φρύνιχον ἀποκτείνας, ἀφεἰθης ἂν ὑπὸ τῶν τριάκοντα, εἰ μὴ μεγάλα τὸν δῆμον τῶν Ἀθηναίων καὶ ἀνήκεστα κακὰ εἰργάσω. ἐὰν μὲν οὖν φάσκῃ Φρύνιχον ἀποκτεῖναι, τούτων μέμνησθε, καὶ τοῦτον τιμωρεῖσθε, ἀνθ' ὧν ἐποίησεν· ἐὰν δ' οὐ φάσκῃ, ἔρεσθε αὐτόν, διότι φησὶν Ἀθηναῖος ποιηθῆναι. ἐὰν δὲ μὴ ἔχῃ ἀποδεῖξαι, τιμωρεῖσθε αὐτόν, ὅτι καὶ ἐδικάζετο, καὶ ἐκκλησίαζε, καὶ ἐσυκοφάντει πολλοὺς, ὡς Ἀθηναῖος, τοὔνομα ἐπιγραφόμενος. ἀκούω δὲ αὐτὸν παρασκευάζεσθαι ἀπολογεῖσθαι, ὡς ἐπὶ Φυλήν τε ᾤχετο, καὶ συγκατῆλθεν ἀπὸ Φυλῆς· καὶ τοῦτο μέγιστον ἀγώνισμα εἶναι. ἐγένετο δὲ τοιοῦτον. ἦλθεν οὗτος ἐπὶ Φυλήν· (καίτοι πῶς ἂν γένοιτο ἄνθρωπος μιαρώτερος, ὅστις, εἰδὼς, ὅτι εἰσί τινες ἐπὶ Φυλὴν τῶν ὑπὸ τούτου ἐκπεπτωκότων, ἐτόλμησεν ἐλθεῖν ὡς τούτους;) ἐπειδὴ δὲ εἶδον αὐτὸν, τάχιστα συλλα-

βόντες, ἄγουσιν ἄντικρυς ὡς ἀποκτενοῦντες, οὗπερ καὶ τοὺς ἄλλους ἀπέσφαττον, εἴ τινα λῃστὴν ἢ κακοῦργον συλλάβοιεν. στρατηγῶν δὲ Ἄνυτος ἐπὶ Φυλὴν, οὐκ ἔφη χρῆναι ποιεῖν αὐτοὺς ταῦτα· λέγων, ὅτι οὔπω οὕτω διακέοιντο, ὥστε τιμωρεῖσθαι τινὰς τῶν ἐχθρῶν· ἀλλὰ νῦν μὲν δεῖν αὐτοὺς ἡσυχίαν ἔχειν, εἰ δέ ποτε οἴκαδε κατέλθοιεν, τότε καὶ τιμωρήσοιντο τοὺς ἀδικοῦντας. ταῦτα λέγων, αἴτιος ἐγένετο τοῦ ἀποφυγεῖν τοῦτον ἐπὶ Φυλήν. ἀνάγκη δὲ ἦν τοῦ στρατηγοῦ ἀνδρὸς ἀκροᾶσθαι, εἴπερ ἔμελλον σωθήσεσθαι. ἀλλ' ἕτερον. οὔτε γὰρ συσσιτήσας τούτῳ οὐδεὶς φανήσεται οὔτε σύσκηνος γενόμενος, οὔτε ταξίαρχος εἰς τὴν φυλὴν κατατάξας· ἀλλ', ὥσπερ ἀλιτηρίῳ, οὐδεὶς ἀνθρώπων αὐτῷ διελέγετο. καί μοι κάλει τὸν ταξίαρχον. ΜΑΡΤΤΣ. Ἐπειδὴ δὲ διαλλαγαὶ πρὸς ἀλλήλους ἐγένοντο, καὶ ἔπεμψαν οἱ πολῖται ἐκ Πειραιῶς τὴν πομπὴν εἰς τὴν πόλιν, ἡγεῖτο μὲν Αἴσιμος τῶν πολιτῶν, οὗτος δὲ οὕτω τολμηρὸς καὶ ἐκεῖ ἐγένετο. συνηκολούθει γὰρ, λαβὼν τὰ ὅπλα, καὶ συνέπεμπε τὴν πομπὴν μετὰ τῶν πολιτῶν πρὸς τὸ ἄστυ. ἐπειδὴ δὲ πρὸς ταῖς πύλαις ἦσαν, καὶ ἔθεντο τὰ ὅπλα, πρὶν εἰσιέναι εἰς τὸ ἄστυ, ὁ μὲν Αἴσιμος αἰσθάνεται· καὶ προσελθὼν, τήν τε ἀσπίδα αὐτοῦ λαβὼν ἔῤῥιψε, καὶ ἀπιέναι ἐκέλευσεν ἐς κύρακας ἐκ τῶν πολιτῶν. οὐ γὰρ ἔφη δεῖν ἀνδροφόνον αὐτὸν ὄντα συμπέμπειν τὴν πομπὴν τῇ Ἀθηνᾷ. τούτῳ τῷ τρόπῳ ὑπὸ Αἰσίμου ἀπηλάθη. ὡς δ' ἀληθῆ λέγω, κάλει μοι τοὺς μάρτυρας. ΜΑΡΤΤΡΕΣ. Τούτῳ τῷ τρόπῳ, ὦ ἄνδρες δικασταὶ, καὶ

ἐπὶ Φυλὴν καὶ ἐν Πειραιεῖ πρὸς τοὺς πολίτας διέκειτο. οὐδεὶς γὰρ αὐτῷ διελέγετο, ὡς ἀνδροφόνῳ ὄντι· τοῦ τε μὴ ἀποθανεῖν Ἄνυτος ἐγένετο αὐτῷ αἴτιος. ἐὰν οὖν τῇ ἐπὶ Φυλὴν ὁδῷ ἀπολογίᾳ χρῆται, ὑπολαμβάνειν χρὴ, εἰ Ἄνυτος αὐτῷ ἐγένετο αἴτιος τοῦ μὴ ἀποθανεῖν, ἑτοίμων ὄντων τιμωρεῖσθαι, καὶ ἐῤῥίψεν αὐτοῦ Αἴσιμος τὴν ἀσπίδα, καὶ οὐκ εἴα μετὰ τῶν πολιτῶν πέμπειν τὴν πομπήν· καὶ εἴ τις αὐτὸν ταξίαρχος εἰς τάξιν τινὰ κατέταξεν. μήτε οὖν ταῦτα αὐτοῦ ἀποδέχεσθε· μήτε ἂν λέγῃ, ὅτι πολλῷ χρόνῳ ὕστερον τιμωρούμεθα. οὐ γὰρ οἶμαι οὐδεμίαν τῶν τοιούτων ἀδικημάτων προθεσμίαν εἶναι. ἀλλ' [ἐγὼ μὲν οἶμαι,] εἴτ' εὐθὺς, εἴτε χρόνῳ τις τιμωρεῖται, τοῦτον δεῖν ἀποδεικνύναι, ὡς οὐ πεποίηκε, περὶ ὧν ἐστιν ἡ αἰτία. οὗτος τοίνυν τοῦτο ἀποφαινέτω, ἢ ὡς οὐκ ἀπέκτεινεν ἐκείνους, ἢ ὡς δικαίως, κακόν τι ποιοῦντας τὸν δῆμον τῶν Ἀθηναίων. εἰ δὲ, πάλαι δέον τιμωρεῖσθαι, ὕστερον ἡμεῖς τιμωρούμεθα, τὸν χρόνον κερδαίνει, ὃν ἔζη, οὐ προσῆκον αὐτῷ· οἱ δὲ ἄνδρες ὑπὸ τούτου οὐδὲν ἧττον τεθνήκασιν. ἀκούω δ' αὐτὸν καὶ τῷδὶ ἰσχυρίζεσθαι, ὅτι ἐπ' αὐτοφώρῳ τῇ ἀπαγωγῇ ἐπιγέγραπται· πάντων, ἐγὼ οἶμαι, εὐηθέστατον· ὡς εἰ μὲν τὸ ἐπ' αὐτοφώρῳ μὴ προσεγέγραπτο, ἔνοχος ὢν τῇ ἀπαγωγῇ· διότι δὲ τοῦτο προσγέγραπται, ἔνοχος ὤν, ῥᾳστώνην τινὰ οἴεται αὑτῷ εἶναι. τοῦτο δὲ οὐδενὶ ἄλλῳ ἔοικεν, ἢ ὁμολογεῖν ἀποκτεῖναι, μὴ ἐπ' αὐτοφώρῳ δὲ, καὶ περὶ τούτου δῶσχυρίζεσθαι, ὥσπερ, εἰ, μὴ ἐπ' αὐτοφώρῳ μὲν, ἀπέκτεινε δὲ, τού-

του ἕνεκα δέον αὐτὸν σώζεσθαι. δοκοῦσι δ' ἔμοιγε οἱ ἕνδεκα οἱ παραδεξάμενοι τὴν ἀπαγωγὴν ταύτην, οἰόμενοι Ἀγοράτῳ συμπράττειν τότε, καὶ διὸσχυριζόμενοι σφόδρα ὀρθῶς ποιῆσαι Διονύσιον, τὴν ἀπαγωγὴν ἐπάγειν ἀναγκάζοντες, προσγράψασθαι τότε ἐπ' αὐτοφώρῳ, ἢ ὅπου ἂν ᾖ· πρῶτον μὲν, ἐναντίον πεντακοσίων ἐν τῇ βουλῇ· εἶτα πάλιν ἐναντίον Ἀθηναίων ἁπάντων ἐν τῷ δήμῳ ἀπογράψας τινὰς ἀποκτείνειε, καὶ αἴτιος γένοιτο τοῦ θανάτου. οὐ γὰρ δήπου τοῦτο μόνον οἴεται ἐπ' αὐτοφώρῳ, ἐάν τις ξύλῳ ἢ μαχαίρᾳ πατάξας καταβάλῃ· ἐπεὶ ἔκ γε τοῦ σοῦ λόγου οὐδεὶς φανήσεται ἀποκτείνας τοὺς ἄνδρας, οὓς σὺ ἀπέγραψας· οὔτε γὰρ ἐπάταξεν αὐτοὺς οὐδεὶς, οὔτε ἀπέσφαξεν· ἀλλ' ἀναγκασθέντες ὑπὸ τῆς σῆς ἀπογραφῆς ἀπέθανον. οὐκοῦν αἴτιος τοῦ θανάτου οὗτος ἐπ' αὐτοφώρῳ ἐστί. τίς οὖν ἄλλος αἴτιος, ἢ σὺ, ἀπογράψας; ὥστε πῶς οὐκ ἐπ' αὐτοφώρῳ σὺ εἶ ὁ ἀποκτείνας; Πυνθάνομαι δ' αὐτὸν καὶ περὶ τῶν ὅρκων καὶ περὶ τῶν συνθηκῶν μέλλειν λέγειν, ὡς παρὰ τοὺς ὅρκους καὶ τὰς συνθήκας ἀγωνίζεται, ἃς συνεθέμεθα πρὸς τοὺς ἐν ἄστει οἱ ἐν τῷ Πειραιεῖ. σχεδὸν μὲν οὖν τούτοις ἰσχυριζόμενος ὁμολογεῖ ἀνδροφόνος εἶναι. ἐμποδὼν γοῦν ἦ ὅρκους, ἢ συνθήκας, ἢ χρόνον, ἢ ἐπ' αὐτοφώρῳ [τι] ποιεῖται, αὐτῷ δὲ τῷ πράγματι οὔ τοι πιστεύει καλῶς ἀγωνιεῖσθαι. ὑμῖν δὲ, ὦ ἄνδρες δικασταὶ, οὐ προσήκει περὶ τούτων ἀποδέχεσθαι· ἀλλ' ὡς οὐκ ἀπέγραψεν, οὐδὲ οἱ ἄνδρες τεθνᾶσι, περὶ τούτων κελεύετε αὐτὸν ἀπολογεῖσθαι. ἔπειτα τοὺς ὅρκους

καὶ τὰς συνθήκας οὐδὲν ἡγοῦμαι προσήκειν ἡμῖν πρὸς τοῦτον. οἱ γὰρ ὅρκοι τοῖς ἐν ἄστει πρὸς τοὺς ἐν Πειραιεῖ γεγένηνται. εἰ μὲν οὖν οὗτος μὲν ἐν ἄστει, ἡμεῖς δὲ ἐν Πειραιεῖ ἦμεν, εἶχόν τινα λόγον αὐτῷ αἱ συνθῆκαι· νῦν δὲ καὶ οὗτος ἐν Πειραιεῖ ἦν, καὶ ἐγὼ καὶ Διονύσιος, καὶ οὗτοι ἅπαντες οἱ τοῦτον τιμωρούμενοι. ὥστε οὐκ ἔστιν ἡμῖν ἐμποδὼν οὐδέν. οὐδένα γὰρ ὅρκον οἱ ἐν Πειραιεῖ τοῖς ἐν ἄστει ὤμοσαν. ἐκ παντὸς δὲ τρόπου ἔμοιγε δοκεῖ οὐχ ἑνὸς θανάτου ἄξιος εἶναι, ὅστις φησὶ μὲν ὑπὸ τοῦ δήμου, τὸν δὲ δῆμον, ὃν αὐτός φησι πατέρα αὑτοῦ εἶναι, φαίνεται κακώσας, καὶ ἀφεὶς καὶ προδόσας ἐξ ὧν ἐκεῖνος μείζων καὶ ἰσχυρότερος ἐγένετο. ὅστις οὖν τόν τε γόνῳ πατέρα τὸν αἑαυτοῦ ἔτυπτε, καὶ οὐδὲν παρεῖχε τῶν ἐπιτηδείων, τόν τε ποιητὸν πατέρα ἀφείλετο, ἃ ἦν ὑπάρχοντα ἐκείνῳ ἀγαθά, πῶς οὐ καὶ διὰ τοῦτο καὶ διὰ τὸν τῆς κακώσεως νόμον ἄξιός ἐστι θανάτῳ ζημιωθῆναι; προσήκει δ' ὑμῖν, ὦ ἄνδρες δικασταὶ, ἅπασι, τιμωρεῖν ὑπὲρ ἐκείνων τῶν ἀνδρῶν ὁμοίως, ὥσπερ ἡμῶν ἑνὶ ἑκάστῳ. ἀποθνήσκοντες γὰρ, ὑμῖν ἐπέσκηψαν καὶ ἡμῖν, καὶ τοῖς ἄλλοις ἅπασι, τιμωρεῖν ὑπὲρ σφῶν αὐτῶν Ἀγόρατον τουτονὶ, ὡς φονέα ὄντα, καὶ κακῶς ποιεῖν, καθ' ὅσον ἂν βραχὺ ἕκαστος δύνηται. εἰ τοίνυν τι ἐκεῖνοι ἀγαθὸν τὴν πόλιν ἢ τὸ πλῆθος τὸ ὑμέτερον φανεροί εἰσι πεποιηκότες, ἃ καὶ αὐτοὶ ὑμεῖς ὁμολογεῖτε, ἀνάγκη ὑμᾶς ἐστι πάντας ἐκείνοις φίλους καὶ ἐπιτηδείους εἶναι. ὥστε οὐδὲν μᾶλλον ἡμῖν ἢ καὶ ὑμῶν ἑνὶ ἑκάστῳ ἐπέσκηψαν. οὔκουν οὔτε ὅσιον

οὔτε νόμιμον ὑμῖν ἐστιν ἀνεῖναι Ἀγόρατον τουτονί. ὑμεῖς τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, νυνὶ δή, ἐπεὶ ἐν τῷ τότε χρόνῳ, ἐν ᾧ ἐκεῖνοι ἀπέθνησκον, οὐχ οἷοί τε ἐκείνοις ἐπαρκέσαι γεγόνατε, διὰ τὰ πράγματα τὰ περιεστηκότα, νυνὶ, ἐν ᾧ δύνασθε, τιμωρήσατε τὸν ἐκείνων φονέα. ἐνθυμεῖσθε δ', ὦ ἄνδρες Ἀθηναῖοι, ὅπως μὴ πάντων ἔργον σχετλιώτατον ἐργάσησθε. εἰ γὰρ ἀποψηφιεῖσθε Ἀγοράτου τουτουΐ, οὐ μόνον τούτῳ διαπράττεσθε, ἀλλὰ καὶ ἐκείνων τῶν ἀνδρῶν, οὓς ὁμολογεῖτε ὑμῖν εὔνους εἶναι, τῇ αὐτῇ ψήφῳ ταύτῃ θάνατον καταψηφίσεσθε. ἀπολύοντες γὰρ τὸν αἴτιον ὄντα ἐκείνοις τοῦ θανάτου, οὐδὲν ἄλλο γιγνώσκετε, ἢ ἐκείνους δικαίως ὑπὸ τούτου τεθνηκέναι. καὶ οὕτως ἂν δεινότατα πάντων πάθοιεν, εἰ, οἷς ἐπέσκηπτον ἐκεῖνοι, ὡς φίλοις οὖσι, τιμωρεῖν ὑπὲρ αὐτῶν, οὗτοι ὁμόψηφοι κατ' ἐκείνων τῶν ἀνδρῶν τοῖς τριάκοντα γενήσονται. μηδαμῶς, ὦ ἄνδρες δικασταί, πρὸς θεῶν ὀλυμπίων, μήτε τέχνῃ, μήτε μηχανῇ μηδεμιᾷ θάνατον ἐκείνων τῶν ἀνδρῶν καταψηφίσησθε, οἳ πολλὰ κἀγαθὰ ὑμᾶς ποιήσαντες, διὰ ταῦτα ὑπὸ τῶν τριάκοντα καὶ Ἀγοράτου τουτουΐ ἀπέθανον. ἀναμνησθέντες οὖν ἁπάντων τῶν δεινῶν, καὶ τῶν κοινῶν τῇ πόλει καὶ τῶν ἰδίων, ὅσα ἑκάστῳ ἐγένοντο, ἐπειδὴ ἐκεῖνοι οἳ ἄνδρες ἐτελεύτησαν, τιμωρήσατε τὸν αἴτιον τούτων. ἀποδέδεικται δ' ὑμῖν ἅπαντα καὶ ἐκ τῶν ψηφισμάτων καὶ ἐκ τῶν ἀπογραφῶν καὶ ἐκ τῶν ἄλλων ἁπάντων Ἀγόρατος ὢν αὐτοῖς αἴτιος τοῦ θανάτου. ἔτι δὲ καὶ προσήκει ὑμῖν ἐναντία τοῖς τριάκοντα ψηφί-

ζεσθαι. ὧν μὲν τοίνυν ἐκεῖνοι θάνατον κατέγνωσαν, ὑμεῖς ἀποψηφίσασθε· ὧν δ' ἐκεῖνοι θάνατον οὐ κατέγνωσαν, ὑμεῖς καταγινώσκετε. οἱ τριάκοντα τοίνυν τῶν μὲν ἀνδρῶν τούτων, οἳ ἦσαν ὑμέτεροι φίλοι, θάνατον κατέγνωσαν, ὧν δεῖ ὑμᾶς ἀποψηφίζεσθαι· Ἀγοράτου δὲ ἀπεψηφίσαντο, διότι ἐδόκει προθύμως τούτους ἀπολλύναι· οὗ προσήκει καταψηφίζεσθαι. ἐὰν οὖν τὰ ἐναντία τοῖς τριάκοντα ψηφίζησθε, πρῶτον μὲν οὐχ ὁμόψηφοι γίγνεσθε· ἔπειτα τοῖς ὑμετέροις αὐτῶν φίλοις τετιμωρηκότες ἔσεσθε· ἔπειτα τοῖς πᾶσιν ἀνθρώποις δόξετε δίκαια καὶ ὅσια ψηφίσασθαι.

ΛΥΣΙΟΥ

ΚΑΤΑ ΑΛΚΙΒΙΑΔΟΥ ΛΕΙΠΟΤΑΞΙΟΥ.

Ἡγοῦμαι μέν, ὦ ἄνδρες δικασταί, οὐδεμίαν ὑμᾶς ποθεῖν ἀκοῦσαι πρόφασιν παρὰ τῶν βουλομένων Ἀλκιβιάδου κατηγορεῖν. τοιοῦτον γὰρ πολίτην ἑαυτὸν ἐξ ἀρχῆς παρέσχεν, ὥστε καὶ εἰ μή τις ἰδίᾳ ἀδικούμενος ὑπ' αὐτοῦ τυγχάνοι, οὐδὲν ἧττον προσήκει ἐκ τῶν ἄλλων ἐπιτηδευμάτων ἐχθρὸν αὐτὸν ἡγεῖσθαι. οὐ γὰρ μικρὰ τὰ ἁμαρτήματα, οὐδὲ συγγνώμης ἄξια, οὐδ' ἐλπίδα παρέχοντα, ὡς ἔσται τοῦ λοιποῦ βελτίων· ἀλλ' οὕτω πεπραγμένα, καὶ εἰς τοσοῦ-

το κακίας ἀφιγμένα, ὥστ' ἐπ' ἐνίοις, ὧν οὗτος φιλοτιμεῖται, τοὺς ἐχθροὺς αἰσχύνεσθαι. ἐγὼ μέντοι, ὦ ἄνδρες δικασταὶ, καὶ πρότερον πρὸς τοὺς πατέρας ἡμῖν διαφορᾶς ὑπαρχούσης, καὶ πάλαι τοῦτον ἐχθρὸν ἡγούμενος, καὶ νῦν ὑπ' αὐτοῦ πεπονθὼς κακῶς, πειράσομαι περὶ πάντων τῶν πεπραγμένων μεθ' ὑμῶν αὐτὸν τιμωρήσασθαι. περὶ μὲν τῶν ἄλλων, Ἀρχεστρατίδης ἱκανῶς κατηγόρησε· καὶ γὰρ τοὺς νόμους ἐπέδειξε, καὶ μάρτυρας πάντων παρέσχετο· ὅσα δ' οὗτος παραλέλοιπεν, ἐγὼ καθ' ἕκαστον ὑμᾶς διδάξω. ἀνάγνωθι δέ μοι τὸν νόμον. ΝΟΜΟΣ. Εἰκὸς τοίνυν ἐστὶν, ὦ ἄνδρες δικασταὶ, ἐξ οὗ τὴν εἰρήνην ἐποιησάμεθα, πρῶτον περὶ τούτων νυνὶ δικάζοντας, μὴ μόνον δικαστὰς, ἀλλὰ καὶ νομοθέτας αὐτοὺς γενέσθαι· εὖ εἰδότας, ὅτι, ὅπως ἂν ὑμεῖς νυνὶ περὶ αὐτῶν γνῶτε, οὕτω καὶ τὸν ἄλλον χρόνον ἡ πόλις αὐτοῖς χρήσεται. δοκεῖ δέ μοι καὶ πολίτου χρηστοῦ καὶ δικαστοῦ δικαίου ἔργον εἶναι, ταύτῃ τοὺς νόμους διαλαμβάνειν, ὅπῃ εἰς τὸν λοιπὸν χρόνον μέλλει συνοίσειν τῇ πόλει. τολμῶσι γάρ τινες λέγειν, ὡς οὐδεὶς ἔνοχός ἐστι λειποταξίου, οὐδὲ δειλίας. μάχην γὰρ οὐδεμίαν γεγονέναι· τὸν δὲ νόμον κελεύειν, ἐάν τις λίπῃ τὴν τάξιν εἰς τοὐπίσω, δειλίας ἕνεκα, μαχομένων τῶν ἄλλων, περὶ τούτου τοὺς στρατιώτας δικάζειν. ὁ δὲ νόμος οὐ περὶ τούτων κελεύει μόνον, ἀλλὰ καὶ ὁπόσοι ἂν μὴ παρῶσιν ἐν τῇ πεζῇ στρατιᾷ. Ἀνάγνωθί μοι τὸν νόμον. ΝΟΜΟΣ. Ἀκούετε, ὦ ἄνδρες δικασταὶ, ὅτι περὶ τούτων κεῖται, καὶ ὅσοι ἐὰν μάχης οὔσης εἰς τοὔ-

πίσω ἀναχωρήσωσι, καὶ ὅσοι ἂν ἐν τῇ πεζῇ στρατιᾷ μὴ παρῶσι. σκέψασθε δὲ, τίνες εἰσὶν, οὓς δεῖ παρεῖναι. οὐχ οἵτινες ἂν τὴν ἡλικίαν ταύτην ἔχωσιν; οὐχ οὓς ἂν οἱ στρατηγοὶ καταλέξωσιν; ἡγοῦμαι δ', ὦ ἄνδρες δικασταὶ, ὅλῳ τῷ νόμῳ μόνον αὐτὸν τῶν πολιτῶν ἔνοχον εἶναι. ἀστρατείας μὲν γὰρ δικαίως ἂν αὐτὸν ἁλῶναι, ὅτι καταλεγεὶς ὁ πατὴρ οὐκ ἐπεξῆλθε μεθ' ὑμῶν στρατοπεδευομένων, οὐδὲ παρῆν μετὰ τῶν ἄλλων ἑαυτὸν τάξας· δειλίας δὲ, ὅτι, δέον ἕκαστον μετὰ τῶν ὁπλιτῶν κινδυνεύειν, ἱππεύειν εἵλετο. καίτοι φασὶν αὐτὸν ταύτην τὴν ἀπολογίαν ποιήσεσθαι, ὡς ἐπειδήπερ ἵππευεν, οὐδὲν ἠδίκει τὴν πόλιν. ἐγὼ δ' ἡγοῦμαι, διὰ τοῦθ' ὑμᾶς δικαίως ἂν αὐτῷ ὀργίζεσθαι, ὅτι, τοῦ νόμου κελεύοντος, ἐάν τις ἀδοκίμαστος ἱππεύῃ, ἄτιμον εἶναι, ἐτόλμησεν ἀδοκίμαστος ἱππεύειν. καί μοι ἀνάγνωθι τὸν νόμον. ΝΟΜΟΣ. Ἔτι τοίνυν εἰς τοῦτ' ἦλθε πονηρίας, καὶ οὕτως ὑμῶν κατεφρόνησε, καὶ τοὺς πολεμίους ἔδεισε, καὶ ἱππεύειν ἐπεθύμησε, καὶ τῶν νόμων οὐκ ἐφρόντισεν, ὥστε οὐδὲν αὐτῷ τούτων τῶν κινδύνων ἐμέλησεν, ἀλλ' ἐβουλήθη καὶ ἄτιμος εἶναι, καὶ τὰ χρήματ' αὐτοῦ δημευθῆναι, καὶ πάσαις ταῖς κειμέναις ζημίαις ἔνοχος γενέσθαι, μᾶλλον ἢ μετὰ τῶν ὁπλιτῶν εἶναι καὶ ὁπλίτης γενέσθαι. καὶ ἕτεροι μὲν οὐδεπώποτε ὁπλιτεύσαντες, ἱππεύσαντες δὲ καὶ τὸν ἄλλον χρόνον, καὶ πολλὰ κακὰ τοὺς πολεμίους πεποιηκότες, οὐκ ἐτόλμησαν ἐπὶ τοὺς ἵππους ἀναβῆναι, δεδιότες ὑμᾶς καὶ τὸν νόμον· οὕτω γὰρ ἦσαν παρεσκευασμένοι, οὐχ ὡς ἀπολουμένης τῆς πόλεως,

ἀλλ' ὡς σωθησομένης καὶ μεγάλης ἐσομένης, καὶ τιμωρησομένης τοὺς ἀδικοῦντας. Ἀλκιβιάδης δ' ἐτόλμησεν ἀναβῆναι, οὔτε εὔνους ὢν τῷ πλήθει, οὔτε πρότερον ἱππεύσας, οὔτε νῦν ἐπιστάμενος; οὔτε ὑφ' ὑμῶν δοκιμασθείς· ὡς οὐκ ἐξεσόμενον τῇ πόλει δίκην παρὰ τῶν ἀδικούντων λαμβάνειν. ἐνθυμηθῆνα δὲ χρὴ, ὅτι, εἰ ἐξέσται ὅ, τι ἄν τις βούληται ποιεῖν, οὐδὲν ὄφελος νόμους κεῖσθαι, ἢ ὑμᾶς συλλέγεσθαι, ἢ στρατηγοὺς αἱρεῖσθαι. θαυμάζω δὲ, ὦ ἄνδρες δικασταὶ, εἴ τις ἄξιοῖ, ἐὰν μέν τις προσιόντων τῶν πολεμίων τῆς πρώτης τάξεως τεταγμένος, τῆς δευτέρας γένηται, τούτου μὲν δειλίαν καταψηφίζεσθαι· ἐὰν δέ τις ἐν τοῖς ὁπλίταις τεταγμένος, ἐν τοῖς ἱππεῦσιν ἀναφανῇ, τούτῳ συγγνώμην ἔχειν. καὶ μὲν δὴ, ὦ ἄνδρες δικασταὶ, ἡγοῦμαι διπάζειν ὑμᾶς; οὐ μόνον τῶν ἐξαμαρτανόντων ἕνεκα, ἀλλ' ἵνα καὶ τοὺς ἄλλους τῶν ἀκοσμούντων σωφρονεστέρους ποιῆτε ἐὰν μὲν τοίνυν τοὺς ἀγνῶτας κολάζητε, οὐδεὶς ἔσται τῶν ἄλλων βελτίων. οὐδεὶς γὰρ εἴσεται τὸν ὑφ' ὑμῶν καταψηφισθέντα· ἐὰν δὲ τοὺς ἐπιφανεστάτους τῶν ἐξαμαρτανόντων τιμωρῆσθε, πάντες πεύσονται. ὥστε τούτῳ παραδείγματι χρώμενοι βελτίους ἔσονται οἱ πολῖται. ἐὰν τοίνυν τούτου καταψηφιεῖσθε, οὐ μόνον οἱ ἐν τῇ πόλει εὖσονται, ἀλλὰ καὶ οἱ σύμμαχοι αἰσθήσονται, καὶ οἱ πολέμιοι πεύσονται, καὶ ἡγήσονται πολὺ πλείονος ἄξίαν εἶναι τὴν πόλιν, ἐὰν δρῶσιν ἐπὶ τοῖς τοιούτοις τῶν ἁμαρτημάτων μάλισθ' ὑμᾶς ὀργιζομένους, καὶ μηδεμιᾶς συγγνώμης τοὺς ἀκοσμοῦντας ἐν τῷ πολέμῳ τυγχάνοντας. ἐνθυμεῖ-

σθε οὖν, ὦ ἄνδρες δικασταὶ, ὅτι τῶν στρατιωτῶν οἱ μὲν, κάμνοντες ἐτύγχανον, οἱ δὲ, ἐνδεεῖς ὄντες τῶν ἐπιτηδείων· καὶ ἠδέως ἂν οἱ μὲν, ἐν ταῖς πόλεσι καταμείναντες ἐθεραπεύοντο, οἱ δὲ, οἴκαδ' ἀπελθόντες, τῶν οἰκείων ἐπεμέλοντο· οἱ δὲ φίλοι ἐστρατεύοντο, οἱ δ' ἐν τοῖς ἱππεῦσιν ἐκινδύνευον· ἀλλ' ὅμως οὐκ ἐτολμᾶτε ἀπολιπεῖν τὰς τάξεις, οὐδὲ τὰ ἀρεστὰ ὑμῖν αὐτοῖς αἱρεῖσθαι, ἀλλὰ πολὺ μᾶλλον ἐφοβεῖσθε τοὺς τῆς πόλεως νόμους, ἢ τὸν πρὸς τοὺς πολεμίους κίνδυνον. ὧν χρὴ μεμνημένους ὑμᾶς νυνὶ φέρειν τὴν ψῆφον, καὶ πᾶσι φανερὸν ποιεῖν, ὅτι Ἀθηναίων οἱ μὴ βουλόμενοι τοῖς πολεμίοις μάχεσθαι, ὑφ' ὑμῶν κακῶς πείσονται. Ἡγοῦμαι δὲ, ὦ ἄνδρες δικασταὶ, περὶ μὲν τοῦ νόμου καὶ αὐτοῦ τοῦ πράγματος οὐχ ἕξειν αὐτοὺς ὅ, τι λέξουσιν· ἀναβαίνοντες δ' ὑμᾶς ἐξαιτήσονται καὶ ἀντιβολήσουσιν, οὐκ ἀξιοῦντες τοῦ Ἀλκιβιάδου υἱέος τοσαύτην δειλίαν καταγνῶναι· ὡς ἐκεῖνον πολλῶν ἀγαθῶν, ἀλλ' οὐχὶ πολλῶν κακῶν αἴτιον γεγενημένον, ὃν εἰ, τηλικοῦτον ὄντα, ἀπεκτείνατε, ὅτε πρῶτον εἰς ὑμᾶς ἐλάβετε ἐξαμαρτάνοντα, οὐκ ἂν ἐγένοντο συμφοραὶ τοσαῦται τῇ πόλει. δεινὸν δέ μοι δοκεῖ, ὦ ἄνδρες δικασταὶ, εἶναι, εἰ αὐτοῦ μὲν ἐκείνου θάνατον κατέγνωτε, τοῦ δὲ υἱοῦ ἀδικοῦντος δι' ἐκεῖνον ἀποψηφιεῖσθε, ὃς αὐτὸς μὲν οὐκ ἐτόλμα μεθ' ἡμῶν μάχεσθαι, ὁ δὲ πατὴρ αὐτοῦ μετὰ τῶν πολεμίων ἠξίου στρατεύεσθαι. καὶ ὅταν μὲν, παῖς ὤν, οὕτω δῆλος ἦν ὁποῖός τις ἔσται, διὰ τὰ πατρὸς ἁμαρτήματα ὀλίγου τοῖς ἔνδεκα παρεδόθη· ἐπειδὴ δὲ

πρὸς τοῖς ἐκείνῳ πεπραγμένοις ἐπίστασθε καὶ τὴν τούτου πονηρίαν, διὰ τὸν πατέρα ἐλεεῖν αὐτὸν ἀξιώσετε; οὐκοῦν δεινόν, ὦ ἄνδρες δικασταὶ, τούτους μὲν οὕτως εὐτυχεῖς εἶναι, ὥστε, ἐπειδὰν ἐξαμαρτάνοντες ληφθῶσι, διὰ τὸ αὐτῶν γένος σώζεσθαι, ἡμᾶς δὲ, εἰ ἐδυστυχήσαμεν διὰ τοὺς οὕτως ἀτακτοῦντας, μηδένα ἂν δύνασθαι παρὰ τῶν πολεμίων ἐξαιτήσασθαι, μηδ' ἂν τὰς τῶν προγόνων ἀρετὰς λέγῃ. καίτοι πολλαὶ καὶ μεγάλαι καὶ ὑπὲρ ἁπάντων τῶν Ἑλλήνων γεγόνασι, καὶ οὐδὲν ὅμοιαι τοῖς ὑπὸ τούτων περὶ τὴν πόλιν πεπραγμένοις, ὦ ἄνδρες δικασταί. εἰ δ' ἐκεῖνοι δοκοῦσι βελτίους εἶναι, σώζοντες τοὺς φίλους, δῆλον, ὅτι καὶ ὑμεῖς ἀμείνους δόξετε εἶναι, τιμωρούμενοι τοὺς ἐχθρούς. ἀξιῶ δ', ὦ ἄνδρες δικασταὶ, ἐὰν μέν τινες τῶν συγγενῶν αὐτὸν ἐξαιτῶνται, ὀργίζεσθαι· ὅτι τούτου μὲν οὐκ ἐπεχείρησαν δεηθῆναι, (ἢ δεηθέντες οὐκ ἐδύναντο εὑρέσθαι,) ποιεῖν τὰ ὑπὸ τῆς πόλεως προστατιόμενα· ὑμᾶς δὲ πείθειν πειρῶνται, ὡς οὐ χρὴ παρὰ τῶν ἀδικούντων δίκην λαμβάνειν. ἐὰν δέ τινες τῶν ἀρχόντων βοηθῶσιν αὐτῷ, ἐπίδειξιν μὲν τῆς ἑαυτῶν δυνάμεως ποιούμενοι, φιλοτιμούμενοι δὲ, ὅτι καὶ τοὺς φανερῶς ἡμαρτηκότας σώζειν δύνανται· ὑμᾶς δὲ χρὴ ὑπολαμβάνειν, πρῶτον μὲν, ὅτι, εἰ πάντες Ἀλκιβιάδῃ ὅμοιοι ἐγένοντο, οὐδὲν ἂν ἔδει τῶν στρατηγῶν· οὐδὲ γὰρ εἶχον, ὅτου ἡγοῦντο· ἔπειθ', ὅτι πολὺ μᾶλλον αὐτοὺς προσήκει τῶν λιπόντων τὴν τάξιν κατηγορεῖν, ἢ ὑπὲρ τῶν τοιούτων ἀπολογεῖσθαι. τίς γάρ ἐστιν ἐλπὶς τοὺς ἄλλους ἐθελήσειν ποιεῖν τὰ

ὑπὸ τῶν στρατηγῶν προστατττόμενα, ὅταν αὐτοὶ οἵ-
τοι τοὺς ἀκοσμοῦντας σώζειν πειρῶνται; ἐγὼ τοίνυ
ἀξιῶ, ἂν μὲν ἀποδείξωσιν οἱ λέγοντες καὶ αἰτούμε-
νοι ὑπὲρ Ἀλκιβιάδου, ὡς ἐστρατεύσατο ἐν τοῖς ὁπλί-
ταις, ἢ ὡς ἵππευσε δεδοκιμασμένος, ἀποψηφίσα-
σθαι· ἐὰν δὲ, μηδὲν ἔχοντες δίκαιον, οὐ κελεύωσιν
αὐτῷ ὀργίζεσθαι, μεμνῆσθαι χρὴ, ὅτι διδάσκου-
σιν ὑμᾶς ἐπιορκεῖν, καὶ τοῖς νόμοις μὴ πείθεσθαι·
καὶ ὅτι, λίαν προθύμως τοῖς ἀδικοῦσι βοηθοῦντες,
πολλοὺς τῶν αὐτῶν ἔργων ἐπιθυμεῖν ποιήσουσι.
Θαυμάζω δὲ μάλιστα, ὦ ἄνδρες δικασταὶ, εἴ τις ὑ-
μῶν τὸν Ἀλκιβιάδην ἀξιώσει διὰ μὲν τοὺς βοηθοῦν-
τας σώζεσθαι, διὰ δὲ τὴν αὐτοῦ πονηρίαν μὴ ἀπο-
λέσθαι. ἧς ἄξιον ὑμᾶς ἀκοῦσαι· ἵν' ἐπίστησθε, ὅτι
οὐκ ἂν εἰκότως αὐτοῦ ἀποψηφίζοισθε, ὡς ταῦτα
μὲν ἡμαρτηκότος, τὰ δ' ἄλλα πολίτου χρηστοῦ γε-
γενημένου. ἐκ γὰρ τῶν ἄλλων τῶν τούτῳ πεπραγμέ-
νων, δικαίως ἂν αὐτοῦ θάνατον καταψηφίζοισθε
προσήκει δ' ὑμῖν περὶ αὐτῶν εἰδέναι. ἐπειδὴ γὰ
καὶ τῶν ἀπολογουμένων ἀποδέχεσθε λεγόντων τὸ
σφετέρας αὐτῶν ἀρετὰς, καὶ τὰς τῶν προγόνων ε
εργεσίας, εἰκὸς ὑμᾶς καὶ τῶν κατηγόρων ἀκροᾶσθι
ἐὰν ἀποφαίνωσι τοὺς φεύγοντας πολλὰ εἰς ὑμᾶς
μαρτηκότας, καὶ τοὺς προγόνους αὐτῶν πολλῶν
κῶν αἰτίους γεγενημένους. οὗτος γὰρ παῖς μὲν
παρ' Ἀρχεδήμῳ τῷ γλάμωνι, τῷ οὐκ ὀλίγα τῶν ἑ
τέρων ὑφηρημένῳ, πολλῶν ὁρώντων ἔπινεν, ὑπὸ
αὐτῷ στρωματεῖ κατακείμενος, ἐκώμαζε δὲ με
μέραν, ἄνηβος ἑταίραν ἔχων, μιμούμενος τοὺς

ῦ προγόνους, καὶ ἡγούμενος οὐκ ἂν δύνασθαι, ρεσβύτερος ὢν, λαμπρὸς γενέσθαι, εἰ μὴ νέος ὤν, ονηρότατος δύξει εἶναι. μετεπέμφθη δ' ὑπὸ Ἀρχε-άδου, ἐπειδὴ φανερῶς ἐξημάρτανε. καίτοι ποῖόν να χρὴ αὐτὸν ὑφ' ὑμῶν νομίζεσθαι εἶναι, ὅστις ἐκείνῳ, τοιαῦτα ἐπιτηδεύων, διεβέβλητο, ὃς τοὺς λους ταῦτ' ἐδίδασκε; μετὰ Θεοτίμου δὲ ἐπιβου-ύσας τῷ πατρὶ, Ὀρεοὺς προσῆψεν. ὁ δὲ, παρα-ιβὼν τὸ χωρίον, πρότερον μὲν ὕβριζεν αὐτὸν ὡ-ίῖον ὄντα, τελευτῶν δὲ δήσας, ἀργύριον εἰσεπράτ-το. ὁ δὲ πατὴρ αὐτὸν οὕτως ἐμίσει σφόδρα, ὥστε ὶδ' ἂν ἀποθανόντος ἔφασκε τὰ ὁστᾶ κομίσασθαι λευτήσαντος δ' ἐκείνου, ἐραστὴς γενόμενος Ἀρχε-άδης αὐτὸν ἐλύσατο. οὐ πολλῷ δὲ χρόνῳ ὕστερον ιακυβεύσας τὰ ὄντα, ἐκ Λευκῆς ἀκτῆς ὁρμώμενος, ὺς φίλους κατεπόντιζεν. ὅσα μὲν οὖν, ὦ ἄνδρες καστα, ἢ εἰς τοὺς πολίτας, ἢ εἰς τοὺς οἰκείους, περὶ τοὺς αὐτοῦ ξένους, ἢ περὶ τοὺς ἄλλους ἡμάρ-κε, μακρὸν ἂν εἴη λέγειν. Ἱππόνικος δὲ, πολλοὺς ιρακαλέσας, ἐξέπεμψε τὴν γυναῖκα· φάσκων τοῦ-ν, ὡς οὐκ ἀδελφὸν αὐτῆς, ἀλλ' ὡς ἄνδρα ἐκείνης, ; τὴν οἰκίαν εἰσιέναι τὴν αὐτοῦ. καὶ τοιαῦθ' ἡ-ιρτηκότι, καὶ οὕτω δεινὰ καὶ πολλὰ καὶ μεγάλα ποιηκότι, οὔτε τῶν πεπραγμένων αὐτῷ μεταμέλει, ἔτε τῶν μελλόντων ἔσεσθαι. ὃν μᾶλλον ἔδει κοσμι-στον εἶναι τῶν πολιτῶν, ἀπολογίαν ποιούμενον ν ἑαυτοῦ βίον τῶν τοῦ πατρὸς ἁμαρτημάτων, οὐ-δ' ἑτέρους ὑβρίζειν πειρᾶται, ὥσπερ δυνάμενος ὢν ἐστὸν μέρος τῶν ὀνειδῶν τῶν ἑαυτοῦ προσηκόν-

ὑπὸ τῶν στρατηγῶν προστατ τόμενα, ὅταν αὐτοὶ οὗτοι τοὺς ἀκοσμοῦντας σώζειν πειρῶνται; ἐγὼ τοίνυν ἀξιῶ, ἂν μὲν ἀποδείξωσιν οἱ λέγοντες καὶ αἰτούμενοι ὑπὲρ Ἀλκιβιάδου, ὡς ἐστρατεύσατο ἐν τοῖς ὁπλίταις, ἢ ὡς ἵππευσε δεδοκιμασμένος, ἀποψηφίσασθαι· ἐὰν δὲ, μηδὲν ἔχοντες δίκαιον, οὐ κελεύωσιν αὐτῷ ὀργίζεσθαι, μεμνῆσθαι χρὴ, ὅτι διδάσκουσιν ὑμᾶς ἐπιορκεῖν, καὶ τοῖς νόμοις μὴ πείθεσθαι· καὶ ὅτι, λίαν προθύμως τοῖς ἀδικοῦσι βοηθοῦντες, πολλοὺς τῶν αὐτῶν ἔργων ἐπιθυμεῖν ποιήσουσι. Θαυμάζω δὲ μάλιστα, ὦ ἄνδρες δικασταὶ, εἴ τις ὑμῶν τὸν Ἀλκιβιάδην ἀξιώσει διὰ μὲν τοὺς βοηθοῦντας σώζεσθαι, διὰ δὲ τὴν αὐτοῦ πονηρίαν μὴ ἀπολέσθαι. ἧς ἄξιον ὑμᾶς ἀκοῦσαι· ἵν' ἐπίστησθε, ὅτι οὐκ ἂν εἰκότως αὐτοῦ ἀποψηφίζοισθε, ὡς ταῦτα μὲν ἡμαρτηκότος, τὰ δ' ἄλλα πολίτου χρηστοῦ γεγενημένου. ἐκ γὰρ τῶν ἄλλων τῶν τούτῳ πεπραγμένων, δικαίως ἂν αὐτοῦ θάνατον καταψηφίζοισθε. προσήκει δ' ὑμῖν περὶ αὐτῶν εἰδέναι. ἐπειδὴ γὰρ καὶ τῶν ἀπολογουμένων ἀποδέχεσθε λεγόντων τὰς σφετέρας αὐτῶν ἀρετὰς, καὶ τὰς τῶν προγόνων εὐεργεσίας, εἰκὸς ὑμᾶς καὶ τῶν κατηγόρων ἀκροᾶσθαι, ἐὰν ἀποφαίνωσι τοὺς φεύγοντας πολλὰ εἰς ὑμᾶς ἡμαρτηκότας, καὶ τοὺς προγόνους αὐτῶν πολλῶν κακῶν αἰτίους γεγενημένους. οὗτος γὰρ παῖς μὲν ὢν παρ' Ἀρχεδήμῳ τῷ γλάμωνι, τῷ οὐκ ὀλίγα τῶν ὑμετέρων ὑφῃρημένῳ, πολλῶν ὁρώντων ἔπινεν, ὑπὸ τῷ αὐτῷ στρωματεῖ κατακείμενος, ἐκώμαζε δὲ μεθ' ἡμέραν, ἄνηβος ἑταίραν ἔχων, μιμούμενος τοὺς ἀυ-

τοῦ προγόνους, καὶ ἡγούμενος οὐκ ἂν δύνασθαι, πρεσβύτερος ὢν, λαμπρὸς γενέσθαι, εἰ μὴ νέος ὤν, πονηρότατος δόξει εἶναι. μετεπέμφθη δ' ὑπὸ Ἀρχεβιάδου, ἐπειδὴ φανερῶς ἐξημάρτανε. καίτοι ποῖόν τινα χρὴ αὐτὸν ὑφ' ὑμῶν νομίζεσθαι εἶναι, ὅστις κἀκείνῳ, τοιαῦτα ἐπιτηδεύων, διεβέβλητο, ὃς τοὺς ἄλλους ταῦτ' ἐδίδασκε; μετὰ Θεοτίμου δὲ ἐπιβουλεύσας τῷ πατρὶ, Ὀρεοὺς προὔδωκεν. ὁ δὲ, παραλαβὼν τὸ χωρίον, πρότερον μὲν ὕβριζεν αὐτὸν ὡραῖον ὄντα, τελευτῶν δὲ δήσας, ἀργύριον εἰσεπράττετο. ὁ δὲ πατὴρ αὐτὸν οὕτως ἐμίσει σφόδρα, ὥστε οὐδ' ἂν ἀποθανόντος ἔφασκε τὰ ὀστᾶ κομίσασθαι τελευτήσαντος δ' ἐκείνου, ἐραστὴς γενόμενος Ἀρχεβιάδης αὐτὸν ἐλύσατο. οὐ πολλῷ δὲ χρόνῳ ὕστερον κατακυβεύσας τὰ ὄντα, ἐκ Λευκῆς ἀκτῆς ὁρμώμενος, τοὺς φίλους κατεπόντιζεν. ὅσα μὲν οὖν, ὦ ἄνδρες δικασταὶ, ἢ εἰς τοὺς πολίτας, ἢ εἰς τοὺς οἰκείους, ἢ περὶ τοὺς αὑτοῦ ξένους, ἢ περὶ τοὺς ἄλλους ἡμάρτηκε, μακρὸν ἂν εἴη λέγειν. Ἱππόνικος δὲ, πολλοὺς παρακαλέσας, ἐξέπεμψε τὴν γυναῖκα· φάσκων τοῦτον, ὡς οὐκ ἀδελφὸν αὐτῆς, ἀλλ' ὡς ἄνδρα ἐκείνης, εἰς τὴν οἰκίαν εἰσιέναι τὴν αὐτοῦ. καὶ τοιαῦθ' ἡμαρτηκότι, καὶ οὕτω δεινὰ καὶ πολλὰ καὶ μεγάλα πεποιηκότι, οὔτε τῶν πεπραγμένων αὐτῷ μεταμέλει, οὔτε τῶν μελλόντων ἔσεσθαι. ὃν μᾶλλον ἔδει κοσμιώτατον εἶναι τῶν πολιτῶν, ἀπολογίαν ποιούμενον τὸν ἑαυτοῦ βίον τῶν τοῦ πατρὸς ἁμαρτημάτων, οὗτος ἑτέρους ὑβρίζειν πειρᾶται, ὥσπερ δυνάμενος ὧν πολλοστὸν μέρος τῶν ὀνειδῶν τῶν ἑαυτοῦ προσηκόν-

ὑπὸ τῶν στρατηγῶν προσταττόμενα, ὅταν αὐτοὶ οὗτοι τοὺς ἀκοσμοῦντας σώζειν πειρῶνται; ἐγὼ τοίνυν ἀξιῶ, ἂν μὲν ἀποδείξωσιν οἱ λέγοντες καὶ αἰτούμενοι ὑπὲρ Ἀλκιβιάδου, ὡς ἐστρατεύσατο ἐν τοῖς ὁπλίταις, ἢ ὡς ἵππευσε δεδοκιμασμένος, ἀποψηφίσασθαι· ἐὰν δὲ, μηδὲν ἔχοντες δίκαιον, οὐ κελεύωσιν αὐτῷ ὀργίζεσθαι, μεμνῆσθαι χρὴ, ὅτι διδάσκουσιν ὑμᾶς ἐπιορκεῖν, καὶ τοῖς νόμοις μὴ πείθεσθαι· καὶ ὅτι, λίαν προθύμως τοῖς ἀδικοῦσι βοηθοῦντες, πολλοὺς τῶν αὐτῶν ἔργων ἐπιθυμεῖν ποιήσουσι. Θαυμάζω δὲ μάλιστα, ὦ ἄνδρες δικασταὶ, εἴ τις ὑμῶν τὸν Ἀλκιβιάδην ἀξιώσει διὰ μὲν τοὺς βοηθοῦντας σώζεσθαι, διὰ δὲ τὴν αὐτοῦ πονηρίαν μὴ ἀπολέσθαι. ἧς ἄξιον ὑμᾶς ἀκοῦσαι· ἵν' ἐπίστησθε, ὅτι οὐκ ἂν εἰκότως αὐτοῦ ἀποψηφίζοισθε, ὡς ταῦτα μὲν ἡμαρτηκότος, τὰ δ' ἄλλα πολίτου χρηστοῦ γεγενημένου. ἐκ γὰρ τῶν ἄλλων τῶν τοὑτῳ πεπραγμένων, δικαίως ἂν αὐτοῦ θάνατον καταψηφίζοισθε. προσήκει δ' ὑμῖν περὶ αὐτῶν εἰδέναι. ἐπειδὴ γὰρ καὶ τῶν ἀπολογουμένων ἀποδέχεσθε λεχθέντων τὰς σφετέρας αὐτῶν ἀρετὰς, καὶ τὰς τῶν προγόνων εὐεργεσίας, εἰκὸς ὑμᾶς καὶ τῶν κατηγόρων ἀκροᾶσθαι, ἐὰν ἀποφαίνωσι τοὺς φεύγοντας πολλὰ εἰς ὑμᾶς ἡμαρτηκότας, καὶ τοὺς προγόνους αὐτῶν πολλῶν κακῶν αἰτίους γεγενημένους. οὗτος γὰρ παῖς μὲν ὢν παρ' Ἀρχεδήμῳ τῷ γλάμωνι, τῷ οὐκ ὀλίγα τῶν ὑμετέρων ὑφῃρημένῳ, πολλῶν ὁρώντων ἔπινεν, ὑπὸ τῷ αὐτῷ στρωματεῖ κατακείμενος, ἐκώμαζε δὲ μεθ' ἡμέραν, ἄνηβος ἑταίραν ἔχων, μιμούμενος τοὺς ἀν-

οὗ προγόνους, καὶ ἡγούμενος οὐκ ἂν δύνασθαι,
ρεσβύτερος ὢν, λαμπρὸς γενέσθαι, εἰ μὴ νέος ὤν,
ονηρότατος δόξει εἶναι. μετεπέμφθη δ' ὑπὸ Ἀρχε-
λάου, ἐπειδὴ φανερῶς ἐξημάρτανε. καίτοι ποῖόν
να χρὴ αὐτὸν ὑφ' ὑμῶν νομίζεσθαι εἶναι, ὅστις
ἐκείνῳ, τοιαῦτα ἐπιτηδεύων, διεβέβλητο, ὃς τοὺς
λλους ταῦτ' ἐδίδασκε; μετὰ Θεοτίμου δὲ ἐπιβου-
ύσας τῷ πατρὶ, Ὀρσοὺς προὔδωκεν. ὁ δὲ, παρα-
αβὼν τὸ χωρίον, πρότερον μὲν ὕβριζεν αὐτὸν ὢν
αῖον ὄντα, τελευτῶν δὲ δήσας, ἀργύριον εἰσεπράτ-
ετο. ὁ δὲ πατὴρ αὐτὸν οὕτως ἐμίσει σφόδρα, ὥστε
ὐθ' ἂν ἀποθανόντος ἔφασκε τὰ ὀστᾶ κομίσασθαι
ελευτήσαντος δ' ἐκείνου, ἐραστὴς γενόμενος Ἀρχε-
λάδης αὐτὸν ἐλύσατο. οὐ πολλῷ δὲ χρόνῳ ὕστερον
κατακυβεύσας τὰ ὄντα, ἐκ Λευκῆς ἀκτῆς ὁρμώμενος,
ὺς φίλους κατεπόντιζεν. ὅσα μὲν οὖν, ὦ ἄνδρες
κασταὶ, ἢ εἰς τοὺς πολίτας, ἢ εἰς τοὺς οἰκείους,
περὶ τοὺς αὑτοῦ ξένους, ἢ περὶ τοὺς ἄλλους ἡμάρ-
κε, μακρὸν ἂν εἴη λέγειν. Ἱππόνικος δὲ, πολλοὺς
αρακαλέσας, ἐξέπεμψε τὴν γυναῖκα· φάσκων τοῦ-
ον, ὡς οὐκ ἀδελφὸν αὐτῆς, ἀλλ' ὡς ἄνδρα ἐκείνης,
ς τὴν οἰκίαν εἰσιέναι τὴν αὐτοῦ. καὶ τοιαῦθ' ἡ-
αρτηκότι, καὶ οὕτω δεινὰ καὶ πολλὰ καὶ μεγάλα
πεποιηκότι, οὔτε τῶν πεπραγμένων αὐτῷ μεταμέλει,
ὔτε τῶν μελλόντων ἔσεσθαι. ὃν μᾶλλον ἔδει κοσμι-
τατον εἶναι τῶν πολιτῶν, ἀπολογίαν ποιούμενον
ὑν ἑαυτοῦ βίον τῶν τοῦ πατρὸς ἁμαρτημάτων, οὗ-
ος ἑτέρους ὑβρίζειν πειρᾶται, ὥσπερ δυνάμενος ὢν
ολλοστὸν μέρος τῶν ὀνειδῶν τῶν ἑαυτοῦ προσηκόν-

των τοῖς ἄλλοις μεταδοῦναι· καὶ ταῦθ', υἱὸς ὢν Ἀλ-
κιβιάδου, ὃς ἔπεισε μὲν Λακεδαιμονίους τὴν Δεκέλειαν
ἐπιτειχίσαι, ἐπὶ δὲ τὰς νήσους ἀποστήσων ἔπλευσε,
διδάσκαλος δὲ τῶν τῆς πόλεως κακῶν ἐγένετο· πλεο-
νάκις δὲ μετὰ τῶν ἐχθρῶν ἐπὶ τὴν πατρίδα ἐστρα-
τεύσατο, ἢ μετὰ τῶν πολιτῶν ἐπ' ἐκείνους. ἀνθ'
ὧν καὶ ὑμῖν καὶ τοῖς μέλλουσιν ἔσεσθαι τιμωρεῖσθαι
προσήκει, ὄντιν' ἂν λαμβάνητε τούτων. καίτοι σφό-
δρα εὔθιστα λέγειν, ὡς οὐκ εἰκός ἐστι τὸν μὲν πα-
τέρα αὐτοῦ κατελθόντα, δωρεὰς παρὰ τοῦ δήμου
λαβεῖν, τοῦτον δ' ἀδίκως διὰ τὴν φυγὴν τὴν ἐκεί-
νου διαβεβλῆσθαι. ἐμοὶ δὲ δοκεῖ δεινὸν εἶναι, εἰ
τὰς μὲν δωρεὰς αὐτοῦ ἀφειλεσθε, ὡς οὐ δικαίως δε-
δωκότες, τούτου δὲ ἀδικοῦντος ἀποψηφιεῖσθε, ὡς
τοῦ πατρὸς χρηστοῦ περὶ τὴν πόλιν γεγενημένου.
καὶ μὲν δὴ, ὦ ἄνδρες δικασταὶ, ἄλλων τε πολλῶν
ἄξιον ἕνεκεν αὐτοῦ καταψηφίσασθαι, καὶ ὅτι τῶν
ὑμετέρων ἀρεταῖς χρῆται παραδείγματι περὶ τῆς
ἑαυτοῦ πονηρίας. τολμᾷ γὰρ λέγειν, ὡς Ἀλκιβιάδης
οὐδὲν δεινὸν εἴργασται ἐπὶ τὴν πατρίδα στρατευσά-
μενος. καὶ γὰρ ὑμᾶς φεύγοντας Φυλὴν καταλαβεῖν,
καὶ δένδρα τεμεῖν, καὶ πρὸς τὰ τείχη προσβαλεῖν.
καὶ ταῦτα ποιήσαντας, οὐκ ὄνειδος τοῖς πασὶ κα-
ταλιπεῖν, ἀλλὰ τιμὴν παρὰ πᾶσιν ἀνθρώποις κτή-
σασθαι· ὡς τῶν αὐτῶν ὄντας ἀξίους, ὅσοι φυγό-
τες μετὰ τῶν πολεμίων ἐπὶ τὴν χώραν ἐστράτευσα
καὶ ὅσοι κατῆσαν Λακεδαιμονίων ἐχόντων τὴν
λιν. καὶ μὲν δὴ πᾶσιν ἥγοῦμαι δῆλον εἶναι, ὅτι
τοι μὲν ἐζήτουν κατιέναι, ὡς τὴν μὲν τῆς θαλά

ἀρχὴν Λακεδαιμονίοις παραδώσοντες, αὐτοὶ δ' ὑμῶν ἄρξοντες. τὸ δ' ὑμέτερον πλῆθος κατελθὸν τοὺς μὲν πολεμίους ἐξήλασε, τῶν δὲ πολιτῶν καὶ τοὺς βουλομένους δουλεύειν ἠλευθέρωσεν. ὥστ' οὐχ ὁμοίων τῶν ἔργων ἀμφοτέροις γεγενημένων, τοὺς λόγους ποιεῖται· ἀλλ' ὅμως τοσούτων συμφορῶν καὶ οὕτως αὐτῷ μεγάλων ὑπαρχουσῶν, ἐπὶ τῇ τοῦ πατρὸς πονηρίᾳ φιλοτιμεῖται· καὶ λέγει, ὡς οὕτως ἐκεῖνος μέγα ἐδύνατο, ὥστε τῇ πόλει πάντων κακῶν αἴτιος γεγένηται. καίτοι τίς οὕτως ἄπειρος τῆς ἑαυτοῦ πατρίδος, ὃς οὐκ ἂν, βουλόμενος εἶναι πονηρὸς, εἰς ἡγήσαιτο μὲν τοῖς πολεμίοις, ἃ χρὴ καταλαβεῖν τῶν χωρίων; δηλώσειε δ' ἄν, ἃ κακῶς φυλάττεται τῶν φρουρίων; διδάξειε δ' ἄν, ἃ πονηρῶς ἔχει τῶν πραγμάτων; μηνύσειε δ' ἂν τοὺς βουλομένους ἀφίστασθαι τῶν συμμάχων; οὐ γὰρ δήπου, ὅταν μὲν ἔφευγε, διὰ τὴν δύναμιν κακῶς οἷός τ' ἦν ποιεῖν τὴν πόλιν, ἐπειδὴ δὲ ὑμᾶς ἐξαπατήσας κατῆλθε, καὶ πολλῶν ἦρξε τριήρων, οὔτε τοὺς πολεμίους ἐδύνατο ἐκ τῆς χώρας ἐκβαλεῖν, οὔτε Χίους, οὓς ἀπέστησε, πάλιν φίλους ποιῆσαι, οὔτε ἄλλο οὐδὲν ἀγαθὸν ὑμᾶς ἐργάσασθαι. ὥστ' οὐ χαλεπὸν γνῶναι, ὅτι Ἀλκιβιάδης δυνάμει μὲν οὐδὲν τῶν ἄλλων διέφερε, πονηρίᾳ δὲ τῶν πολιτῶν πρῶτος ἦν. ἃ μὲν γὰρ ᾔδει κακῶν ὑμετέρων κακῶς ἔχοντα, μηνυτὴς αὐτὸς Λακεδαιμονίοις ἐγένετο· ἐπειδὴ δ' ἔδει αὐτὸν στρατηγεῖν, οὐδὲν κακὸν ποιεῖν ἐκείνους ἐδύνατο· ἀλλ' ὑποσχόμενος δι' ἑαυτὸν παρέξειν βασιλέα χρήματα, δέκα ἢ διακόσια τάλαντα τῆς πόλεως ὤφελετο

καὶ οὕτω πολλὰ ἐνόμιζεν εἰς ὑμᾶς ἡμαρτηκέναι, ὥστε λέγειν δυνάμενος, καὶ φίλων ὄντων, καὶ χρήματα κεκτημένος, οὐδέποτ' ἐλθὼν εὐθύνας ἐτόλμησε δοῦναι· ἀλλὰ φυγὴν αὑτοῦ καταγνοὺς, καὶ Θρᾴκης καὶ πάσης πόλεως ἐβούλετο πολίτης γενέσθαι μᾶλλον, ἢ τῆς πατρίδος εἶναι τῆς ἑαυτοῦ. καὶ τὸ τελευταῖον, ὦ ἄνδρες δικασταὶ, ὑπερβολὴν ποιησάμενος τῆς προτέρας πονηρίας, ἐτόλμησε τὰς ναῦς Λυσάνδρῳ μετὰ Λιδειμάντου προδοῦναι. ὥστε εἴ τις ὑμῶν ἢ τοὺς τεθνεῶτας ἐν τῇ ναυμαχίᾳ ἐλεεῖ, ἢ ὑπὲρ τῶν δουλευσάντων τοῖς πολεμίοις αἰσχύνεται, ἢ τῶν τειχῶν καθῃρημένων ἄγανακτεῖ, ἢ Λακεδαιμονίους μισεῖ, ἢ τοῖς τριάκοντα ὀργίζεται· τούτων ἁπάντων χρὴ τὸν τούτου πατέρα αἴτιον ἡγεῖσθαι, καὶ ἐνθυμηθῆναι, ὅτι Ἀλκιβιάδην μὲν τὸν πρόπαππον αὐτοῦ, καὶ τὸν πρὸς μητρὸς Μεγακλέα, οἱ ὑμέτεροι πρόγονοι δὶς ἀμφοτέρους ἐξωστράκισαν, τοῦ δὲ πατρὸς αὐτοῦ οἱ πρεσβύτεροι ὑμῶν θάνατον κατέγνωσαν. ὥστε νῦν χρὴ, ἡγησαμένους πατρικὸν ἐχθρὸν τοῦτον εἶναι τῇ πόλει, καταψηφίσασθαι· καὶ μήτε ἔλεον, μήτε συγγνώμην, μήτε χάριν μηδεμίαν περὶ πλείονος ποιήσασθαι τῶν νόμων τῶν κειμένων, καὶ τῶν ὅρκων, οὓς ὠμόσατε· σκέψασθαι δὲ χρὴ, ὦ ἄνδρες δικασταὶ, διά τί ἄν τις τοιούτων ἀνδρῶν φείσαιτο· πότερον, ὡς πρὸς μὲν τὴν πόλιν δεδυστυχήκασιν, ἄλλως δὲ κόσμιοί εἰσι, καὶ σωφρόνως βεβιώκασιν; οὐχ οἱ μὲν πολλοὶ αὐτῶν ἡταιρήκασιν, οἱ δ' ἀδελφαῖς συγγεγόνασι; τοῖς δ' ἐκ θυγατέρων παῖδες γεγόνασιν; οἱ δὲ μυστήρια πεποιήκασι, καὶ τοὺς

Ἑρμᾶς περικεκόφασι, καὶ περὶ πάντας τοὺς θεοὺς ἠσεβήκασι; καὶ εἰς ἅπασαν τὴν πόλιν ἡμαρτήκασιν, ἀδίκως καὶ παρανόμως καὶ πρὸς τοὺς ἄλλους διακείμενοι, καὶ πρὸς σφᾶς αὐτοὺς πολιτευόμενοι; οὐδεμιᾶς τόλμης ἀπιχόμενοι, οὐδὲ ἔργου δεινοῦ ἄπειροι γεγενημένοι; ἀλλ' ἅτε πεπόνθασιν ἅπαντα, ἃ πεποιήκασι καὶ πεπόνθασι; οὕτω γὰρ διάκεινται, ὥστε ἐπὶ μὲν τοῖς καλοῖς αἰσχύνεσθαι, ἐπὶ δὲ τοῖς κακοῖς φιλοτιμεῖσθαι. καὶ μὲν δή, ὦ ἄνδρες δικασταί, ἤδη τινῶν ἀπεψηφίσασθε, ἀδικεῖν μὲν νομίσαντες, οἰόμενοι δ' εἰς τὸ λοιπὸν χρησίμους ὑμῖν ἔσεσθαι. τίς οὖν ἐλπὶς ὑπὸ τούτου τὶ ἀγαθὸν πείσεσθαι τὴν πόλιν, ὃν ὑμεῖς, ὅτι μὲν οὐδενὸς ἄξιός ἐστιν, ἐπειδὰν ἀπολογῆται, εἴσεσθε· ὅτι δὲ πονηρός ἐστιν, ἐκ τῶν ἄλλων ἐπιτηδευμάτων εἴσεσθε; ἀλλὰ μὲν δὴ οὐδ' ἂν ἐξελθὼν ἐκ τῆς πόλεως οὐδὲν δύναιτο κακὸν ὑμᾶς ἐργάσασθαι, δειλὸς ὢν καὶ πένης, καὶ πράττειν ἀδύνατος, καὶ τοῖς οἰκείοις διάφορος, καὶ ὑπὸ τῶν ἄλλων μισούμενος. ὥστ' οὐδὲ τούτων ἕνεκα αὐτὸν ἄξιον φυλάττεσθαι, ἀλλὰ πολὺ μᾶλλον παράδειγμα ποιῆσαι καὶ τοῖς ἄλλοις καὶ τοῖς τούτου φίλοις, οἳ τὰ μὲν προσταττόμενα ποιεῖν οὐκ ἐθέλουσι, τοιούτων δ' ἔργων ἐπιθυμοῦσι, καὶ περὶ τῶν σφετέρων αὐτῶν κακῶς βουλευσάμενοι, περὶ τῶν ὑμετέρων δημηγοροῦσιν. ἐγὼ μὲν οὖν ὡς ἐδυνάμην ἄριστα κατηγόρηκα. ἐπίσταμαι δ', ὅτι οἱ μὲν ἄλλοι τῶν ἀκροωμένων θαυμάζουσιν, ὅπως ποθ' οὗτως ἀκριβῶς ἐδυνήθην ἐξευρεῖν τὰ τούτων ἁμαρτήματα, αὐτος δέ μου καταγελᾷ, ὅτι οὐδὲ τὸ πολλοστὸν μέρος εἴρη-

κα τῶν τούτοις ὑπαρχόντων κακῶν. ὑμεῖς οὖν κα τὰ εἰρημένα καὶ τὰ παραλελειμμένα ἀναλογισάμενοι, πολὺ μᾶλλον αὐτοῦ καταψηφίσασθε· ἐνθυμηθέντες, ὅτι ἔνοχος μέν ἐστι τῇ γραφῇ, μεγάλη δ' εὐτυχία, τὸ τοιούτων πολιτῶν ἀπαλλαγῆναι, πόλει. ἀνάγνωθι δ' αὐτοῖς τοὺς νόμους, καὶ τοὺς ὅρκους, καὶ τὴν γραφήν· καὶ τούτων μεμνημένοι ψηφίσονται τὰ δίκαια.

ΛΥΣΙΟΥ

ΚΑΤΑ ΑΛΚΙΒΙΑΔΟΥ ΑΣΤΡΑΤΕΙΑΣ

Ἐγὼ μὲν, ὦ ἄνδρες δικασταὶ, καὶ ὑμᾶς αἰτοῦμαι τὰ δίκαια ψηφίσασθαι, καὶ τῶν στρατηγῶν δέομαι, ἐπεὶ καὶ ἐν τῇ ἄλλῃ ἀρχῇ πολλοῦ ἄξιοι τῇ πόλει γεγόνασι, καὶ περὶ τῶν τῆς ἀστρατείας γραφῶν κοινοὺς εἶναι τῷ τε διώκοντι καὶ τῷ φεύγοντι· καὶ μὴ βοηθοῦντας ὡς ἂν βούλωνται, πᾶσαν προθυμίαν ἔχειν παρὰ τὸ δίκαιον ὑμᾶς ψηφίσασθαι· ἐνθυμουμένους, ὅτι σφόδρ' ἂν ἠγανακτεῖτε, εἰ ἐν τῇ ἡμετέρᾳ δοκιμασίᾳ οἱ σεσμοθέται ἀναβάντες, ὑμῶν ἐδέοντο καταψηφίσασθαι· ἡγούμενοι δεινὸν εἶναι, εἰ οἱ τιθέντες τὸν ἀγῶνα, καὶ τὴν ψῆφον διδόντες, παρακελεύσονται τῶν μὲν μὴ καταψηφίζεσθαι· τι δ' ἂν αἴσχιον ἔθος ἢ δεινότερον πρᾶγμα τούτου τῇ

γένοιτο, εἰ τολμήσειε μὲν ὁ ἄρχων ἐν ταῖς τῶν
ήρων δίκαις ἀντιβολεῖν καὶ ἱκετεύειν τοὺς δι-
ὰς ὅ, τι ἂν βούληται πραχθῆναι, ὁ δὲ πολέ-
ος καὶ οἱ ἕνδεκα δεήσονται ἐν ταῖς δίκαις ταῖς
αυτῶν εἰσαγομέναις, ὥσπερ καὶ νῦν; χρὴ τοί-
καὶ ὑπὲρ ὑμῶν αὐτῶν τὴν αὐτὴν γνώμην ἔχειν.
ιουμένους, ὅτι οὐδὲν δεήσει ὑμᾶς ἰδίᾳ περὶ τῆς
κτείας βοηθεῖν, ἢ τούτους ὧν τινὰς δεῖσθαι
ὸς τὴν ψῆφον διδόντας. σκέψασθε δὲ, ὦ ἄν
δικασταὶ, ἐὰν ἱκανὸν γένηται τεκμήριον, ὅτι
ς πω τῶν ἀρχόντων ἐν τῷ στρατοπέδῳ Ἀλκι-
ἦν παρεσκευασμένος. ἐχρῆν γὰρ αὐτοὺς, εἰ-
ληθῆ λέγουσιν, ἀνακαλεῖν μὲν Πάμφιλον, ὅτι
ον τὸν ἵππον, ἱππέως ἀπεστέρει τὴν πόλιν, ἐπι-
ιν δὲ τῷ φυλάρχῳ, ὅτι ἐξελαύνων Ἀλκιβιάδην
ς φυλῆς, ἄκυρον ἐποίει τὴν τούτων τάξιν· κε-
δὲ τὸν ταξίαρχον ἐξαλείφειν αὐτὸν ἐκ τοῦ τῶν
ῶν καταλόγου. νῦν δὲ τούτων οὐδὲν ἐποίησαν,
ν μὲν τῷ στρατοπέδῳ περιεώρων αὐτὸν ὑπὸ
ων προπηλακιζόμενον, κἂν τοῖς ἱπποτοξόταις
οντα· ἐπειδὴ δὲ ὑμᾶς δεῖ παρὰ τῶν ἀδικούν-
δίκην λαμβάνειν, χαριζόμενοι μαρτυροῦσιν ὑφ'
ν αὐτὸν τετάχθαι. καίτοι δεινὸν, ὦ ἄνδρες
ταὶ, αὐτοὺς μὲν τοὺς στρατηγοὺς ὑπὸ τοῦ δή
χειροτονηθέντας, μὴ ἂν τολμῆσαι πρότερον ὑ-
ήγήσασθαι, ἕως ἂν ἐδοκιμάσθησαν κατὰ τοὺς
ς· Ἀλκιβιάδην δὲ τολμᾷν παρὰ τοὺς τῆς πό-
νόμους ὑπ' αὐτῶν ταχθῆναι. δεινὸν δέ μοι δο-
ῖναι, ὦ ἄνδρες δικασταὶ, εἰ τῶ μὲν δεδοκι-

μασιένων ἱππέων, οὐκ ἐπὶ τούτοις ἐστὶν ὄντινα βούλονται αὐτοὶ εἰς τοὺς ὁπλίτας καταλέξαι, τῶν δὲ ὁπλιτῶν, ἀδοκιμάστων ὄντων, ἐπὶ τούτοις ἔσται ὅντιν' ἂν βούλωνται ἱππεύειν. εἰ μὲν τοίνυν, ὦ ἄνδρες δικασταὶ, ὄντες κύριοι, πολλῶν βουλομένων, μηδένα τῶν ἄλλων ἱππεύειν εἴασαν, οὐκ ἂν δικαίως χαρίζοισθε αὐτοῖς· εἰ δ' ἄκυροι ὄντες ὁμολογήσουσι τάξαι, ἐνθυμεῖσθαι χρὴ, ὅτι ὁμωμόκατε τὰ δίκαια γνώσεσθαι, ἀλλ' οὐχ ὅ, τι ἂν οὗτοι κελεύωσι ψηφιεῖσθαι. ὥστε οὐδένα χρὴ τῶν δεομένων περὶ πλείονος ὑμῶν αὐτῶν καὶ τῶν ὅρκων ποιεῖσθαι. καὶ μὲν δὴ, ὦ ἄνδρες δικασταὶ, εἰ τῷ δοκεῖ μεγάλης ζημίας εἶναι καὶ λίαν ἰσχυρὸς ὁ νόμος, μεμνῆσθαι χρὴ, ὅτι οὐ νομοθετήσοντες περὶ αὐτῶν ἥκετε, ἀλλὰ κατὰ τοὺς κειμένους νόμους ψηφιούμενοι· οὐδὲ τοὺς ἀδικοῦντας ἐλεήσοντες, ἀλλὰ πολὺ μᾶλλον αὐτοῖς ὀργιούμενοι, καὶ ὅλῃ τῇ πόλει βοηθήσοντες· εὖ εἰδότες, ὅτι ὑπὲρ τῶν παρεληλυθότων ὀλίγους τιμωρησάμενοι, πολλοὺς ποιήσετε κοσμιωτέρους ἐν τοῖς μέλλουσι κινδυνεύειν. χρὴ δὲ, ὦ ἄνδρες δικασταὶ, ὥσπερ οὗτος ἀμελήσας τῆς πόλεως, τὴν αὐτοῦ σωτηρίαν ἐσκέψατο, οὕτως ὑμᾶς, ἀμελήσαντας τούτου, τῇ πόλει τὰ βέλτιστα ψηφίσασθαι· ἄλλως τε καὶ ὅρκους ὀμωμοκότας, καὶ περὶ Ἀλκιβιάδου μέλλοντας ψηφίσασθαι· ὃς ἂν ὑμᾶς ἐξαπατήσῃ, καταγελῶν τῆς πόλεως ἄπεισιν. οὐ γὰρ δὴ χάριν γε ὑμῖν ἀποδώσει, τῇ ψήφῳ κρύβδην εὖ παθών, ὃς τῶν φίλων τοὺς φανερῶς αὐτὸν εὖ ποιήσαντας κακῶς ποιεῖ. ὑμεῖς οὖν, ὦ ἄνδρες δικασταὶ, τὰς τούτων δεήσεις

περὶ ἐλάττονος ποιησάμενοι, τὰ δίκαια ψηφίσασθε. ἀποδέδεικται δὲ καταλεγεὶς εἰς τοὺς ὁπλίτας, καὶ λιπὼν τὴν τάξιν, καὶ τῶν νόμων κωλυόντων ἀδοκίμαστος ἱππεύσας· καὶ περὶ ὧν οἱ νόμοι διαῤῥήδην οὔτε στρατηγὸν, οὔτε ἵππαρχον, οὔτε ἄλλον οὐδένα κυριώτερον ἐκείνων ἀποδεικνύουσι, περὶ τούτων, ἰδιώτης ὢν, τὴν ἐξουσίαν αὐτῷ δεδωκώς. ἐγὼ μὲν οὖν καὶ φίλῳ ὄντι Ἀρχεστρατίδῃ βοηθῶν, καὶ Ἀλκιβιάδην ἐχθρὸν ὄντα ἐμαυτοῦ τιμωρούμενος, δέομαι τὰ δίκαια ψηφίσασθαι. ὑμᾶς δὲ χρὴ τὴν αὐτὴν γνώμην ἔχοντας τὴν ψῆφον φέρειν, ἥνπερ ὅτε ὤεσθε πρὸς τοὺς πολεμίους διακινδυνεύειν.

ΛΥΣΙΟΥ

ΕΝ ΒΟΥΛΗι
ΜΑΝΤΙΘΕΩι ΔΟΚΙΜΑΖΟΜΕΝΩι
ΑΠΟΛΟΓΙΑ.

Εἰ μὴ συνῄδειν, ὦ βουλὴ, τοῖς κατηγόροις βουλομένοις ἐκ παντὸς τρόπου κακῶς ἐμὲ ποιεῖν, πολλὴν ἂν αὐτοῖς χάριν εἶχον ταύτης τῆς κατηγορίας. ἡγοῦμαι γὰρ τοῖς ἀδίκως διαβεβλημένοις τούτους εἶναι μεγίστων ἀγαθῶν αἰτίους, οἵτινες ἂν αὐτοὺς ἀναγκάζωσιν εἰς ἔλεγχον τῶν αὐτοῖς βεβιωμένων καταστῆναι. ἐγὼ γὰρ οὕτω σφόδρα ἐμαυτῷ πιστεύω,

ὥστ' ἐλπίζω καὶ εἴ τις πρός με τυγχάνοι ἀηδῶς ἢ κακῶς διακείμενος, ἐπειδὰν ἐμοῦ λέγοντος ἀκούσῃ περὶ τῶν πεπραγμένων, μεταμελήσειν αὐτῷ, καὶ πολὺ βελτίω με εἰς τὸν λοιπὸν χρόνον ἡγήσεσθαι. ἀξιῶ δὲ, ὦ βουλὴ, ἐὰν μὲν τοῦτο μόνον ὑμῖν ἐπιδείξω, ὡς εὔνους εἰμὶ τοῖς καθεστηκόσι πράγμασι, καὶ ὡς ἠναγκασμαι τῶν αὐτῶν κινδύνων μετέχειν ὑμῖν, μηδέν πώ μοι πλέον εἶναι· ἐὰν δὲ φαίνωμαι περὶ τὰ ἄλλα μετρίως βεβιωκὼς, καὶ πολὺ παρὰ τὴν δόξαν καὶ παρὰ τοὺς λόγους τοὺς τῶν ἐχθρῶν, δέομαι ὑμῶν ἐμὲ μὲν δοκιμάζειν, τούτους δὲ ἡγεῖσθαι χείρους εἶναι. πρῶτον δὲ ἀποδείξω, ὡς οὐχ ἵππευον, οὔτ' ἐπεδήμουν ἐπὶ τῶν τριάκοντα, οὐδὲ μετέσχον τῆς τότε πολιτείας. ἡμᾶς γὰρ ὁ πατὴρ πρὸ τῆς ἐν Ἑλλησπόντῳ συμφορᾶς ὡς Σάτυρον τὸν ἐν τῷ Πόντῳ διαιτησομένους ἐξέπεμψε. καὶ οὔτε τῶν τειχῶν καθαιρουμένων, οὔτε μεθισταμένης τῆς πολιτείας, ἀλλ' ἤλθομεν πρὶν τοὺς ἀπὸ Φυλῆς εἰς τὸν Πειραιᾶ κατελθεῖν πρότερον πέντ' ἡμέραις. καίτοι οὔτε ἡμᾶς εἰκὸς ἦν, εἰς τοιοῦτον καιρὸν ἀφιγμένους, ἐπιθυμεῖν μετέχειν τῶν ἀλλοτρίων κινδύνων, οὔτ' ἐκεῖνοι φαίνονται τοιαύτην γνώμην ἔχοντες, ὥστε καὶ τοῖς ἀποδημοῦσι καὶ τοῖς μηδὲν ἁμαρτάνουσι μεταδιδόναι τῆς πολιτείας, ἀλλὰ μᾶλλον ἠτίμαζον, ἢ τοὺς συγκαταλύσαντας τὸν δῆμον ἐτίμων. ἔπειτα δὲ ἐκ μὲν τοῦ σανιδίου τοὺς ἱππεύσαντας σκοπεῖν εὔηθές ἐστιν. ἐν τούτῳ γὰρ πολλοὶ μὲν τῶν ὁμολογούντων ἱππεύειν οὐκ ἔνεισιν, ἔνιοι δὲ τῶν ἀπομούντων ἐπιγεγραμμένοι εἰσίν. ἐκεῖνος δ' ἐστὶν ἔλεγχος μέ-

γιστος· ἐπειδὴ γὰρ κατῆλθετε, ἐψηφίσασθε τοὺς φυλάρχους ἀπενεγκεῖν τοὺς ἱππεύσαντας, ἵνα τὰς καταστάσεις ἀναπράττητε παρ' αὐτῶν. ἐμὲ τοίνυν οὐδεὶς ἂν ἀποδείξειεν οὔτ' ἀπενεχθέντα ὑπὸ τῶν φυλάρχων, οὔτε παραδοθέντα τοῖς συνδίκοις, οὔτε κατάστασιν παραλαβόντα. καίτοι πᾶσι ῥᾴδιον τοῦτο γνῶναι, διότι ἀναγκαῖον ἦν τοῖς φυλάρχοις, εἰ μὴ ἀποδείξαιεν τοὺς ἔχοντας τὰς καταστάσεις, αὐτοῖς ζημιοῦσθαι. ὥστε πολὺ ἂν δικαιότερον ἐκείνοις τοῖς γράμμασιν ἢ τούτοις πιστεύοιτε· ἐκ μὲν γὰρ τούτων ῥᾴδιον ἦν ἐξαλειφθῆναι τῷ βουλομένῳ, ἐν ἐκείνοις δὲ τοὺς ἱππεύσαντας ἀναγκαῖον ἦν ὑπὸ τῶν φυλάρχων ἀπενεχθῆναι. ἔτι δέ, ὦ βουλή, εἴπερ ἱππευσα, οὐκ ἂν ἦν ἔξαρνος, ὡς δεινόν τι πεποιηκὼς, ἀλλ' ἠξίουν, ἀποδείξας, ὡς οὐδεὶς ὑπ' ἐμοῦ τῶν πολιτῶν κακῶς πέπονθε, δοκιμάζεσθαι. ὁρῶ δὲ καὶ ὑμᾶς ταύτῃ τῇ γνώμῃ χρωμένους· καὶ πολλοὺς μὲν τῶν τότε ἱππευσάντων βουλεύοντας, πολλοὺς δ' αὐτῶν στρατηγοὺς καὶ ἱππάρχους κεχειροτονημένους. ὥστ' εἰ μηδὲν διαβάλλομαι, ἡγεῖσθε ταύτην ποιεῖσθαι τὴν ἀπολογίαν, ἢ ὅτι περιφανῶς ἐτόλμησάν μου καταψεύσασθαι. ἀνάβηθι δέ μοι, καὶ μαρτύρησον. ΜΑΡΤΤΡΙΑ. Περὶ μὲν τοίνυν ταύτης τῆς αἰτίας οὐκ οἶδα, ὅτι δεῖ πλείω λέγειν. δοκεῖ δέ μοι, ὦ βουλή, ἐν μὲν τοῖς ἄλλοις ἀγῶσι περὶ αὐτῶν μόνων τῶν κατηγορημένων προσήκειν ἀπολογεῖσθαι, ἐν δὲ ταῖς δοκιμασίαις δίκαιον εἶναι παντὸς τοῦ βίου λόγον διδόναι. δέομαι οὖν ὑμῶν, μετ' εὐνοίας ἀκροάσασθαί μου. ποιήσομαι δὲ τὴν ἀπολογίαν, ὡς ἂν

δύνωμαι, διὰ βραχυτάτων. ἐγὼ γὰρ πρῶτον μέν, οὐσίας μοι οὐ πολλῆς καταλειφθείσης διὰ τὰς συμφορὰς καὶ τὰς τοῦ πατρὸς καὶ τὰς τῆς πόλεως, δύο μὲν ἀδελφὰς ἐξέδωκα, ἐπιδοὺς τριάκοντα μνᾶς ἑκατέρᾳ· πρὸς τὸν ἀδελφὸν δ' οὕτως ἐνεμάμην, ὥστ' ἐκεῖνον πλέον ὁμολογεῖν ἔχειν ἐμοῦ τῶν πατρῴων. καὶ πρὸς τοὺς ἄλλους ἅπαντας οὕτω βεβίωκα, ὥστε μηδεπώποτέ μοι μηδὲ πρὸς ἕνα μηδὲν ἔγκλημα γενέσθαι. καὶ τὰ μὲν ἴδια οὕτω διῴκησα· περὶ δὲ τῶν κοινῶν μοι μέγιστον ἡγοῦμαι τεκμήριον εἶναι τῆς ἐμῆς ἐπιεικείας, ὅτι τῶν νεωτέρων ὅσοι περὶ κύβους, ἢ πότους, ἢ περὶ τὰς τοιαύτας ἀκολασίας τυγχάνουσι τὰς διατριβὰς ποιούμενοι, πάντας αὐτοὺς ὄψεσθέ μοι διαφόρους ὄντας, καὶ πλεῖστα τούτους περὶ ἐμοῦ λογοποιοῦντας καὶ ψευδομένους. καίτοι δῆλον, ὅτι, εἰ τῶν αὐτῶν ἐπεθυμοῦμεν, οὐκ ἂν τοιαύτην γνώμην εἶχον περὶ ἐμοῦ. ἔτι δ', ὦ βουλή, οὐδεὶς ἂν ἀποδεῖξαι περὶ ἐμοῦ δύναιτο οὔτε δίκην αἰσχρὰν, οὔτε γραφὴν, οὔτε εἰσαγγελίαν γεγενημένην. καίτοι ἑτέρους ὁρᾶτε πολλάκις εἰς τοιούτους ἀγῶνας καθεστηκότας. πρὸς τοίνυν τὰς στρατείας, καὶ τοὺς κινδύνους τοὺς πρὸς τοὺς πολεμίους, σκέψασθε, οἷον ἐμαυτὸν παρέχω τῇ πόλει. πρῶτον μὲν γὰρ, ὅτε τὴν συμμαχίαν ἐποιήσασθε πρὸς τοὺς Βοιωτοὺς, καὶ εἰς Ἀλίαρτον ἔδει βοηθεῖν, ὑπὸ Ὀρθοβούλου κατειλεγμένος ἱππεύειν, ἐπειδὴ πάντας ἑώρων τοῖς μὲν ἱππεύουσιν ἀσφάλειαν εἶναι δεῖν νομίζοντας, τοῖς δ' ὁπλίταις κίνδυνον ἡγουμένους, ἑτέρων ἀναβάντων ἐπὶ τοὺς ἵππους, ἀδοκιμάστων, παρὰ τὸν νόμον,

ἐγὼ προσελθὼν ἔφην τῷ Ὀρθοβούλῳ, ἐξαλεῖψαί με ἐκ τοῦ καταλόγου· ἡγούμενος αἰσχρὸν εἶναι, τοῦ πλήθους μέλλοντος κινδυνεύειν, ἄδειαν ἐμαυτῷ παρασκευάσαντι στρατεύεσθαι. καί μοι ἀνάβηθι, Ὀρθόβουλε. ΜΑΡΤΤΡΙΑ. Συλλεγέντων τοίνυν τῶν δημοτῶν πρὸ τῆς ἐξόδου, εἰδὼς αὐτῶν ἐνίους πολίτας μὲν χρηστοὺς ὄντας καὶ προθύμους, ἐφοδίων δὲ ἀπορουῦντας, εἶπον, ὅτι χρὴ τοὺς ἔχοντας παρέχειν τὰ ἐπιτήδεια τοῖς ἀπόρως διακειμένοις. καὶ οὐ μόγον τοῦτο συνεβούλευον τοῖς ἄλλοις, ἀλλὰ καὶ αὐτὸς ἔδωκα δυοῖν ἀνδροῖν τριάκοντα δραχμὰς ἑκατέρῳ· οὐχ ὡς πολλὰ κεκτημένος, ἀλλ' ἵνα παράδειγμα τοῦτο τοῖς ἄλλοις γένηται. καί μοι ἀνάβητε. ΜΑΡΤΤΡΕΣ. Μετὰ ταῦτα τοίνυν, ὦ βουλή, εἰς Κόρινθον ἐξόδου γενομένης, καὶ πάντων προειδότων, ὅτι δεήσει κινδυνεύειν, ἑτέρων ἀναδυομένων, ἐγὼ δεπεραξάμην, ὥστε τῆς πρώτης τεταγμένος μάχεσθαι τοῖς πολεμίοις· καὶ μάλιστα τῆς ἡμετέρας φυλῆς δυστυχησάσης, καὶ πλείστων ἐνθανόντων, ὕστερον ἀνεχώρησα τοῦ σεμνοῦ Στειριέως, τοῖς πᾶσιν ἀνθρώποις δειλίαν ὠνειδικότος. καὶ οὐ πολλαῖς ἡμέραις ὕστερον μετὰ ταῦτα ἐν Κορίνθῳ χωρίων ἰσχυρῶν κατειλημμένων, ὥστε τοὺς πολεμίους μὴ δύνασθαι προσιέναι, Ἀγησιλάου δ' εἰς τὴν Βοιωτίαν ἐμβαλόντος, ψηφισαμένων τῶν ἀρχόντων ἀποχωρίσαι τάξεις, αἵτινες βοηθήσουσι, φοβουμένων ἁπάντων (εἰκότως, ὦ βουλή· δεινὸν γὰρ ἦν, ἀγαπητῶς ὀλίγῳ πρότερον σεσωσμένους, ἐφ' ἕτερον κίνδυνον ἰέναι) προσελθὼν ἐγὼ τὸν ταξίαρχον ἐκέλευον

ἀκληρωτὶ τὴν ἡμετέραν τάξιν πέμπειν. ὥστ' εἴ τινες ὑμῶν ὀργίζονται τοῖς τὰ μὲν τῆς πόλεως ἀξιοῦσι πράττειν, ἐκ δὲ τῶν κινδύνων ἀποδιδράσκουσιν, οὐκ ἂν δικαίως περὶ ἐμοῦ τὴν γνώμην ταύτην ἔχοιεν. οὐ γὰρ μόνον τὰ προσταττόμενα ἐποίουν προθύμως, ἀλλὰ καὶ κινδυνεύειν ἐτόλμων. καὶ ταῦτ' ἐποίουν, οὐχ ὡς οὐ δεινὸν ἡγούμενος εἶναι Λακεδαιμονίοις μάχεσθαι, ἀλλ' ἵνα, εἴποτε ἀδίκως εἰς κίνδυνον καθισταίμην, διὰ ταῦτα βελτίων ὑφ' ὑμῶν νομιζόμενος ἁπάντων, τῶν δικαίων τυγχάνοιμι. καί μοι ἀνάβητε τούτων μάρτυρες. ΜΑΡΤΤΡΕΣ. Τῶν τοίνυν ἄλλων στρατειῶν καὶ φρουρῶν οὐδεμιᾶς ἀπελείφθην πώποτε. ἀλλὰ πάντα τὸν χρόνον διατετέλεκα μετὰ τῶν πρώτων μὲν τὰς ἐξόδους ποιούμενος, μετὰ τῶν τελευταίων δὲ ἀναχωρῶν. καίτοι χρὴ τοὺς φιλοτίμως καὶ κοσμίως πολιτευομένους ἐκ τῶν τοιούτων σκοπεῖν, ἀλλ' οὐκ, εἴ τις τολμᾷ, διὰ τοῦτο μισεῖν. τὰ μὲν γὰρ τοιαῦτα ἐπιτηδεύματα οὔτε τοὺς ἰδιώτας οὔτε τὸ κοινὸν τῆς πόλεως βλάπτει, ἐκ δὲ τῶν κινδυνεύειν ἐθελόντων πρὸς τοὺς πολεμίους ἅπαντες ὑμεῖς ὠφελεῖσθε. ὥστε οὐκ ἄξιον ἀπ' ὄψεως, ὦ βουλή, οὔτε φιλεῖν, οὔτε μισεῖν οὐδένα, ἀλλ' ἐκ τῶν ἔργων σκοπεῖν. πολλοὶ μὲν γὰρ μικρὸν διαλεγόμενοι, καὶ κοσμίως ἀπερχόμενοι, μεγάλων κακῶν αἴτιοι γεγόνασιν· ἕτεροι δὲ τῶν τοιούτων ἀμελοῦντες, πολλὰ κἀγαθὰ ὑμᾶς εἰσὶν εἰργασμένοι. ἤδη δέ τινων ἠσθόμην, ὦ βουλή, καὶ διὰ ταῦτα ἀχθομένων μοι, ὅτι νεώτερος ὢν ἐπεχείρησα λέγειν ἐν τῷ δήμῳ. ἐγὼ δὲ τὸ μὲν πρῶτον ἠναγκάσθην ὑπὲρ τῶν

μαυτοῦ πραγμάτων δημηγορῆσαι. ἔπειτα μέντοι καὶ μαυτῷ δοκῶ φιλοτιμότερον διατεθῆναι τοῦ δέοντος, ἅμα μὲν τῶν προγόνων ἐνθυμούμενος, ὅτι οὐδὲν ἐπαυνται τῶν τῆς πόλεως πράττοντες, ἅμα δὲ ὑμᾶς ὁρῶν (τὰ γὰρ ἀληθῆ χρὴ λέγειν) τούτους μόνους ἀλλους νομίζοντας εἶναι. ὥστε ὁρῶν ὑμᾶς ταύτην τὴν γνώμην ἔχοντας, τίς οὐκ ἂν ἐπαρθείη πράττειν καὶ λέγειν ὑπὲρ τῆς πόλεως; ἔτι δὲ τί ἂν τοῖς τοιούτοις ἐχθοισθε; οὐ γὰρ ἕτεροι περὶ αὐτῶν κριταί εἰσιν, ἀλλ' ὑμεῖς.

ΛΥΣΙΟΥ

ΠΕΡΙ ΔΗΜΟΣΙΩΝ ΑΔΙΚΗΜΑΤΩΝ.

Ἴσως τινὲς ὑμῶν, ὦ ἄνδρες δικασταὶ, διὰ τὸ βούλεσθαί με ἄξιον εἶναί τινος, ἡγοῦνται καὶ εἰπεῖν ἂν μᾶλλον ἑτέρου δύνασθαι. ἐγὼ δὲ τοσούτου δέω περὶ ὧν μὴ προσηκόντων ἱκανὸς εἶναι λέγειν, ὥστε δέοικα, μὴ καὶ περὶ ὧν ἀναγκαῖόν μοι ἐστὶ λέγειν, ἀδύνατος ὦ τὰ δέοντα εἰπεῖν. οἶομαι μὲν οὖν, ἂν πάντα διηγήσωμαι τὰ πεπραγμένα ἡμῖν πρὸς Ἐράτωνα καὶ τοὺς ἐκείνου παῖδας, ῥᾳδίως ἐξ αὐτῶν ὑμᾶς εὑρήσειν ἃ προσήκει σκέψασθαι περὶ ταύτης τῆς διαδικασίας. ἐξ ἀρχῆς οὖν ἀκούσατε. Ἐράτων ὁ Ἐρασιφῶντος πατὴρ ἐδανείσατο παρὰ τοῦ ἐμοῦ

πάππου τάλαντα δύο. ὅτι μὲν οὖν ἔλαβε τὰρχὺρ
καὶ ὡς τοσοῦτόν γε ἐδεήθη δανεῖσαι, ὧν ἐναν
ἐδύθη, μάρτυρας ὑμῖν παρέξομαι· ἃ δ' ἐχρήσ
αὐτῷ, καὶ ὅσα ὠφελήθη, οἷ μᾶλλόν τε ἐμοῦ εἰδ
καὶ παραγεγενημένοι οἷς ἐκεῖνος ἔπραττε, διηγήσ
ται ὑμῖν, καὶ μαρτυρήσουσι. καί μοι κάλει μάρ
ρας. ΜΑΡΤΤΡΕΣ. Ἕως τοίνυν δ Ἐράτων
τούς τε τόκους ἀπελάμβανον ἐγὼ καὶ τἆλλα τὰ σ
κείμενα· ἐπειδὴ δὲ ἐτελεύτησε, καταλιπὼν υἱ
τρεῖς, Ἐρασιφῶντα, καὶ Ἐράτωνα, καὶ Ἐρασίστ
τον, οὗτοι οὐδὲν ἔτι ἡμῖν τῶν δικαίων ἐποίουν.
μὲν οὖν τῷ πολέμῳ, διότι οὐκ ἦσαν δίκαι, οὐ δι
τοὶ ἦμεν παρ' αὐτῶν, ἃ ὤφειλον, πράξασθαι· ἐ
δὴ δὲ εἰρήνη ἐγένετο, ὅτε περ πρῶτον αἱ ἀστυ
δίκαι ἐδικάζοντο, λαχὼν ὁ πατὴρ παντὸς τοῦ σ
βολαίου Ἐρασιστράτῳ, ὅσπερ μόνος τῶν ἀδελ
ἐπεδήμει, κατεδικάσατο ἐπὶ Ξεναινέτου ἄρχον
μάρτυρας δὲ καὶ τούτων παρέξομαι ὑμῖν. καὶ
κάλει μάρτυρας. ΜΑΡΤΤΡΕΣ. Ὅτι μὲν τὰ Ἐ
τωνος δικαίως ἂν ἡμέτερα εἴη, ἐκ τούτων ῥᾴδιον
δέναι· ὅτι δὲ πάντα δημεύεται, ἐξ αὐτῶν τῶν ἀ
γραφῶν. τρεῖς γὰρ καὶ τέτταρες ἕκαστα ἀπογρ
φασι. καίτοι τοῦτό γε παντὶ εὔγνωστον, ὅτι,
ἂν παραλιπόντες, εἴ τι ἄλλο τῶν Ἐράτωνος οἰό
ἦν δημεύειν. πάντα τὰ Ἐράτωνος ἀπέγραφον,
ἃ ἐγὼ πολὺν ἤδη χρόνον κέκτημαι. ὡς μὲν οὖν ἡ
οὐδ' ἑτέρωθεν εἰσπράξασθαι οἷόν τε, ἂν ὑμεῖς τ
τα δημεύσητε, εὔγνωστόν μοι δοκεῖ εἶναι· ὡς δὲ
ἀμφισβήτησιν ἐποιησάμην πρός τε ὑμᾶς, καὶ τ

ἰδιώτας, ἔτι ἀκούσατε. ἕως μὲν γὰρ ἡμῖν οἱ Ἐρασιφῶντος οἰκεῖοι τούτων τῶν χρημάτων ἠμφισβήτουν, ἅπαντα ἠξίουν ἐμὰ εἶναι, διότι ὑπὲρ ἅπαντος τοῦ χρέους ἀντιδικῶν πρὸς τὸν πατέρα ὁ Ἐρασίστρατος ἠττήθη· καὶ τὰ μὲν Σφηττοῖ ἤδη τρία ἔτη μεμίσθωκα, τῶν δὲ Κικυννοῖ καὶ τῆς οἰκίας ἐδικαζόμην τοῖς ἔχουσι· πέρυσι μὲν οὖν διέγραψάν μου τὰς δίκας, ἔμποροι φάσκοντες εἶναι· νυνὶ δὲ λαχόντες ἐν τῷ Γαμηλιῶνι μηνὶ οἱ ναυτοδίκαι, οὐκ ἐξεδίκασαν. ἐπειδὴ δ' ὑμῖν τὰ Ἐρασιφῶντος δημεύειν ἔδοξε, ἀφεὶς τῇ πόλει τὰ δύο μέρη, τὰ Ἐρασιστράτου ἀξιῶ μοι ψηφισθῆναι· διότι ταῦτά γε ἤδη καὶ πρότερον ἐγνώκατε ἡμέτερα εἶναι. ὡρισάμην οὖν ἐμαυτῷ τὸ τρίτον μέρος τῆς ἐκείνων οὐσίας, οὐ τὴν ἀκρίβειαν ἐπισκεψάμενος, ἀλλὰ πολλῷ πλέον, ἢ τὰ δύο μέρη, τῷ δημοσίῳ ὑπολιπών. ῥᾴδιον δὲ γνῶναι ἐκ τοῦ τιμήματος τοῦ ἐπιγεγραμμένου τοῖς χρήμασιν. ἅπαντα μὲν γὰρ πλείονος, ἢ ταλάντου, τετίμηνται. ὧν δ' ἐγὼ ἀμφισβητῶ, τῷ μὲν πέντε μνᾶς, τῷ δὲ χιλίας δραχμὰς ἐπεγραψάμην. καὶ εἰ πλείονος ἄξιά ἐστιν, ἢ τοσούτου, ἐπικηρυχθέντων, τὸ περιττὸν ἡ πόλις λήψεται. ἵνα οὖν εἰδῆτε, ὅτι ταῦτα ἀληθῆ ἐστι, μάρτυρας ὑμῖν παρέξομαι· πρῶτον μέν, τοὺς μεμισθωμένους παρ' ἐμοῦ τὸ Σφηττοῖ χωρίον, ἔπειτα τῶν Κικυννοῖ τοὺς γείτονας, οἳ ἴσασιν ἡμᾶς ἤδη τρία ἔτη ἀμφισβητοῦντας· ἔτι δὲ τοὺς τε πέρυσιν ἄρξαντας, πρὸς οὓς αἱ δίκαι ἐλήχθησαν, καὶ τοὺς νῦν ναυτοδίκας. ἀναγνωσθήσονται δὲ ὑμῖν καὶ αὗται αἱ ἀπογραφαί· ἐκ τούτων γὰρ μάλιστα γνώσε-

σθε, ὅτι οὔτε νεωστὶ ταῦτα τὰ χρήματα ἀξιοῦμεν ἡμέτερα εἶναι, οὔτε νυνὶ τῷ δημοσίῳ πλειόνων ἀμφισβητοῦμεν, ἢ τῷ ἔμπροσθεν χρόνῳ τοῖς ἰδιώταις. καί μοι κάλει μάρτυρας. ΜΑΡΤΤΡΕΣ. Ὅτι μὲν οὖν, ὦ ἄνδρες δικασταὶ, οὐ παρὰ τὸ δίκαιον ἀξιῶ μοι ψηφίσασθαι τὸ διαδίκασμα, ἀλλ' αὐτὸς τῇ πόλει πολλὰ τῶν ἐμαυτοῦ ἀφιεὶς, τοῦτο ἀξιῶ μοι ἀποδοθῆναι, ἀποδέδεικται. ἤδη δέ μοι δοκεῖ δίκαιον εἶναι καὶ δεηθῆναι ὑμῶν τε καὶ τῶν συνδίκων ἐναντίον ὑμῶν.

ΛΥΣΙΟΥ

ΚΑΤΑ ΤΟΥ ΠΟΛΙΟΥΧΟΥ.

Ἐνθυμήθητε τοίνυν, ὦ ἄνδρες δικασταὶ, οἵτινες ὄντες πολῖται καὶ αὐτοὶ, καὶ ὧν προσήκοντες, ἀδικούμενοι ἀξιοῦμεν ἐλεεῖσθαι ὑφ' ὑμῶν, καὶ τῶν δικαίων τυγχάνειν. οὐ γὰρ μόνον περὶ τῆς οὐσίας ἀγωνιζόμεθα, ἀλλὰ καὶ περὶ τῆς πολιτείας, εἰ χρὴ δημοκρατουμένης τῆς πόλεως ἡμῖν μετεῖναι. πρῶτον μὲν οὖν περὶ Νικίου τοῦ ἡμετέρου θείου ἀναμνήσθητε· ἐκεῖνος γὰρ ὅσα μὲν τῇ ἑαυτοῦ γνώμῃ χρώμενος ὑπὲρ τοῦ πλήθους τοῦ ὑμετέρου ἔπραξε, παντὶ χοῦ φανήσεται, πολλῶν μὲν ἰδίᾳ ἀγαθῶν αἴτιος τῇ πόλει γεγενημένος, πλεῖστα δὲ καὶ μέγιστα κακὰ

τοὺς πολεμίους εἰργασμένος· ὅσα δὲ οὐ βουλόμενος, ἀλλ' ἄκων ἠναγκάσθη ποιῆσαι, τῶν μὲν κακῶν οὐκ ἐλάχιστον αὐτὸς μετέσχε μέρος, τὴν δ' αἰτίαν τῆς συμφορᾶς οἳ πείσαντες ὑμᾶς δικαίως ἂν ἔχοιεν. ἐπεὶ τήν γε πρὸς ὑμᾶς εὔνοιαν, καὶ τὴν ἀρετὴν αὐτοῦ, ἐν ταῖς εὐτυχίαις ταῖς ὑμετέραις καὶ ταῖς δυστυχίαις ταῖς τῶν ἐχθρῶν ἐπέδειξε. στρατηγῶν γὰρ πολλὰς μὲν πόλεις εἶλε, πολλὰ δὲ καὶ καλὰ κατὰ τῶν πολεμίων ἔστησε τρόπαια· ὧν καθ' ἓν ἕκαστον πολὺ ἂν ἔργον εἴη λέγειν. Εὐκράτης τοίνυν, ἀδελφὸς μὲν ὧν ἐκείνου, πατὴρ δὲ ἐμός, ἤδη τῆς τελευταίας ναυμαχίας γεγενημένης φανερὰν ἐπεδείξατο τὴν εὔνοιαν, ἣν εἶχε περὶ τὸ πλῆθος τὸ ὑμέτερον. ἡττημένων γὰρ ἐν τῇ ναυμαχίᾳ, στρατηγὸς ὑφ' ὑμῶν ἡρημένος, καὶ παρακαλούμενος μετέχειν τῆς ὀλιγαρχίας ὑπὸ τῶν ἐπιβουλευόντων τῷ πλήθει, οὐκ ἠθέλησεν αὐτοῖς πείθεσθαι· ἐν τοιούτῳ καιρῷ ληφθεὶς, ἐν ᾧ οἱ πλεῖστοι τῶν ἀνθρώπων καὶ μεταβάλλονται πρὸς τὰ παρόντα, καὶ ταῖς τύχαις εἴκουσι, δυστυχοῦντος τοῦ δήμου, οὐκ ἀπελαυνόμενος τῆς πολιτείας· οὐδ' ἰδίας ἔχθρας ὑπαρχούσης πρὸς τοὺς ἄρξειν μέλλοντας· ἀλλ' ἑξὸν αὐτῷ καὶ τῶν τριάκοντα γενέσθαι, καὶ μηδενὸς ἧττον δύνασθαι, μᾶλλον εἵλετο πράττων ὑπὲρ τῆς ὑμετέρας σωτηρίας ἀπολέσθαι, ἢ ἐπιδεῖν τείχη καθαιρούμενα, καὶ τὰς ναῦς τοῖς πολεμίοις παραδεδομένας, καὶ τὸ ὑμέτερον πλῆθος καταδεδουλωμένον. καὶ οὐ πολλῷ χρόνῳ ὕστερον Νικήρατος, ἀνεψιὸς ὢν ἐμός, καὶ υἱὸς Νικίου, εὔνους ὢν τῷ ὑμετέρῳ πλήθει, συλληφθεὶς ὑπὸ τῶν τριά-

κοντα ἀπέθανεν· οὔτε γένει, οὔτε οὐσίᾳ, οὔθ' ἡλικίᾳ δοκῶν ἀνάξιος εἶναι τῆς πολιτείας μετασχεῖν. ἀλλὰ τοιαῦτα ἐνόμιζε τὰ ὑπάρχοντα αὐτῷ πρὸς τὸ ὑμέτερον πλῆθος εἶναι, καὶ διὰ τοὺς προγόνους καὶ αὐτὸν, ὥστε οὐκ ἄν ποθ' ἑτέρας ἐπιθυμῆσαι πολιτείας. συνήθεσαν γὰρ ἅπασιν αὐτοῖς ὑπὸ τῆς πολιτείας τιμωμένοις, καὶ πολλαχοῦ μὲν ὑπὲρ ὑμῶν κεκινδυνευκόσι, μεγάλας δ' εἰσφορὰς εἰσενηνοχόσι, καὶ λελειτουργηκόσι κάλλιστα, καὶ τῶν ἄλλων οὐδενὸς πώποτ' ἀποστᾶσιν, ὧν ἡ πόλις αὐτοῖς προσέταξεν, ἀλλὰ προθύμως λειτουργοῦσι. καίτοι τίνες ἂν ἡμῶν εἴησαν δυστυχέστεροι, εἰ ἐν μὲν τῇ ὀλιγαρχίᾳ ἀποθνήσκοιμεν, εὖνοι ὄντες τῷ πλήθει, ἐν δὲ τῇ δημοκρατίᾳ, ὡς κακόνοι ὄντες τῷ πλήθει, ἀποστερούμεθα τῶν ὄντων; καὶ μὲν δὴ, ὦ ἄνδρες δικασταὶ, καὶ Διόγνητος διαβληθεὶς μὲν ὑπὸ τῶν συκοφαντῶν, φεύγων ᾤχετο, μετ' ὀλίγων δὲ τῶν ἐκπεπτωκότων οὔτ' ἐπὶ τὴν πόλιν ἐστρατεύσατο, οὔτ' εἰς Δεκέλειαν ἀφίκετο· οὐδ' ἔστιν ὅτου κακοῦ αἴτιος, οὔτε φυγὼν, οὔτε κατελθὼν, τῷ ὑμετέρῳ πλήθει γεγένηται· ἀλλ' εἰς τοῦτ' ἀρετῆς ἦλθεν, ὥστε μᾶλλον ὠργίζετο τοῖς εἰς ὑμᾶς ἡμαρτηκόσιν, ἢ τοῖς αὐτῷ τῆς καθόδου αἰτίοις γεγενημένοις. καὶ ἀρχὴν μὲν οὐδεμίαν ἦρξεν ἐν τῇ ὀλιγαρχίᾳ· ἐπειδὴ δὲ τάχιστα ἦλθον εἰς τὴν Ἀκαδημίαν Λακεδαιμόνιοι καὶ Παυσανίας, λαβὼν τὸν Νικηράτου καὶ ἡμᾶς παῖδας ὄντας, ἐκεῖνον μὲν κατέθηκεν ἐπὶ τοῖς γόνασι τοῖς Παυσανίου, ἡμᾶς δὲ παραστησάμενος, ἔλεγε πρὸς ἐκεῖνον καὶ τοὺς ἄλλους τοὺς παρόντας, ὅσα εἴημεν πεπονθότες· καὶ οἵαις τύχαις

κεχρημένοι· καὶ ἠξίου Παυσανίαν βοηθῆσαι, καὶ διὰ τὴν φιλίαν, καὶ διὰ τὴν ξενίαν τὴν ὑπάρχουσαν, καὶ τιμωρὸν γενέσθαι τῶν εἰς ἡμᾶς ἡμαρτηκότων. ὅθεν Παυσανίας ἤρξατο εὔνους εἶναι τῷ δήμῳ, παράδειγμα ποιούμενος πρὸς τοὺς ἄλλους Λακεδαιμονίους τὰς ἡμετέρας συμφορὰς τῆς τῶν τριάκοντα πονηρίας. δῆλον γὰρ ἅπασι τοῖς ἐλθοῦσι Πελοποννησίων ἐγεγένητο, ὅτι οὐ τοὺς πονηροτάτους τῶν πολιτῶν ἀπέκτεινον, ἀλλ' οὓς μάλιστα προσῆκον καὶ διὰ γένος καὶ διὰ πλοῦτον καὶ διὰ τὴν ἄλλην ἀρετὴν τιμᾶσθαι. οὕτω δ' ἠλεύμεθα καὶ πᾶσι δεινὰ ἐδοκοῦμεν πεπονθέναι, ὥστε Παυσανίας τὰ μὲν παρὰ τῶν τριάκοντα ξένια οὐκ ἠθέλησε λαβεῖν, τὰ δὲ παρ' ἡμῶν ἐδέξατο. καίτοι δεινόν, ὦ ἄνδρες δικασταί, ὑπὸ μὲν τῶν πολεμίων παῖδας ἡμᾶς ὄντας ἐλεεῖσθαι, οἳ τῇ ὀλιγαρχίᾳ βοηθήσοντες ἦλθον· ὑπὸ δ' ὑμῶν, ὦ ἄνδρες δικασταί, τοιούτους γεγενημένους, τῶν ὄντων ἀποστερεῖσθαι· ὧν οἱ πατέρες ὑπὲρ τῆς δημοκρατίας ἀπέθανον. εὖ δ' οἶδ', ὦ ἄνδρες δικασταί, ὅτι περὶ πλείστου ἂν ποιήσαιτο Πολιοῦχος τοῦτον τὸν ἀγῶνα κατορθῶσαι, ἡγούμενος αὐτῷ καλὴν εἶναι τὴν ἀπόδειξιν καὶ πρὸς τοὺς πολίτας καὶ τοὺς ξένους, ὅτι Ἀθήνησι τοσοῦτον δύναται, ὥσθ' ὑμᾶς τοὺς αὐτούς, περὶ ὧν ὅρκους ὀμωμόκατε, ὑμῖν αὐτοῖς τὰ ἐναντία ποιεῖν ψηφίζεσθαι. πάντες γὰρ εἴσονται, ὅτι τότε μὲν χιλίαις δραχμαῖς ἐζημίωσε τὸν βουλόμενον τὴν ἡμετέραν γῆν δημοσίαν ποιῆσαι· νυνὶ δὲ κελεύων δημεῦσαι, νενίκηκε. καὶ περὶ τούτων δὲ ἀμφοτέρων Ἀθηναῖοι, παρανόμων φεύγοντος τοῦ αὐτοῦ ἀνδρός, τἀναντία σφίσιν αὐτοῖς

ναι, ὅτι πολλοὶ ἤδη πολλὰ καὶ δεινὰ κατηγορήσαντες παραχρῆμα ἐξηλέγχθησαν ψευδόμενοι οὕτω φανερῶς, ὥστε ὑπὲρ πάντων τῶν πεπραγμένων μισηθέντες ἀπελθεῖν· οἱ δ' αὖ μαρτυρήσαντες τὰ ψευδῆ, καὶ ἀδίκως ἀπολέσαντες ἀνθρώπους ἐάλωσαν, ἡνίκα οὐδὲν ἦν πλέον τοῖς πεπονθόσιν. ὅτ' οὖν τοιαῦτα πολλὰ γεγένηται, ὡς ἐγὼ ἀκούω, εἰκὸς ὑμᾶς, ὦ ἄνδρες δικασταί, μήπω τοὺς τῶν κατηγόρων λόγους ἡγεῖσθαι πιστούς, πρὶν ἂν καὶ ἡμεῖς εἴπωμεν. ἀκούω γὰρ ἔγωγε (καὶ ὑμῶν δὲ τοὺς πολλοὺς οἶμαι εἰδέναι,) ὅτι πάντων δεινότατόν ἐστι διαβολή. μάλιστα δὲ τοῦτο ἔχοι ἄν τις δεινότατον, ὅταν πολλοὶ ἐπὶ τῇ αὐτῇ αἰτίᾳ εἰς ἀγῶνα καταστῶσιν. ὡς γὰρ ἐπιτοπολὺ οἱ τελευταῖοι κρινόμενοι σώζονται. πεπαυμένοι γὰρ τῆς ὀργῆς, αὐτῶν ἀκροᾶσθε, καὶ τοὺς ἐλέγχους ἤδη θέλοντες ἀποδέχεσθαι. ἐνθυμεῖσθε οὖν, ὅτι Νικόφημος καὶ Ἀριστοφάνης ἄκριτοι ἀπέθανον, πρὶν παραγενέσθαι τινὰ αὐτοῖς ἐλεγχομένοις ὡς ἠδίκουν. οὐδεὶς γὰρ οὐδ' εἶδεν ἐκείνους μετὰ τὴν σύλληψιν. οὐ γὰρ θάψαι τὰ σώματ' αὐτῶν ἀπέδωκαν· ἀλλ' οὕτω δεινὴ συμφορὰ γεγένηται, ὥστε, πρὸς τοῖς ἄλλοις, καὶ τούτου ἐστέρηνται. ἀλλὰ ταῦτα μὲν ἐάσω· (οὐδὲν γὰρ ἂν περαίνοιμι) πολὺ δὲ ἀθλιώτεροι δοκοῦσί μοι οἱ παῖδες οἱ Ἀριστοφάνους. οὐδένα γὰρ οὔτ' ἰδίᾳ, οὔτε δημοσίᾳ ἠδικηκότες, οὐ μόνον τὰ πατρῷα ἀπολωλέκασι παρὰ τοὺς νόμους τοὺς ἡμετέρους, ἀλλὰ καὶ ἡ ὑπόλοιπος ἐλπὶς ἦν, ὑπὸ τοῦ πάππου ἐκτραφῆναι, ἐν οὕτω δεινῷ καθέστηκεν. ἔτι δ' ἡμεῖς ἐστερημένοι μὲν κη

δεστῶν, ἐστερημένοι δὲ τῆς προικὸς, παιδάρια δὲ τρία ἠναγκασμένοι τρέφειν, προσέτι συκοφαντούμεθα, καὶ κινδυνεύομεν περὶ ὧν οἱ πρόγονοι ἡμῖν κατέλιπον, κτησάμενοι ἐκ τοῦ δικαίου. καίτοι, ὦ ἄνδρες δικασταὶ, ὁ ἐμὸς πατὴρ ἐν ἅπαντι τῷ βίῳ πλείω εἰς τὴν πόλιν ἀνάλωσεν, ἢ εἰς αὐτὸν καὶ τοὺς οἰκείους· διπλάσια δὲ, ἢ νῦν ἐστιν ἡμῖν, ὡς ἐγὼ λογιζομένῳ αὐτῷ πολλάκις παρεγενόμην. μὴ οὖν προκαταγινώσκετε ἀδικίαν τοῦ εἰς αὐτὸν μὲν μικρὰ δαπανῶντος, ὑμῖν δὲ πολλὰ καθ' ἕκαστον τὸν ἐνιαυτόν· ἀλλ', ὅσοι καὶ τὰ πατρῷα καὶ ἄν τι ποθὲν μὴ δῶσιν, εἰς τὰς αἰσχίστας ἡδονὰς εἰθισμένοι εἰσὶν ἀναλίσκειν. χαλεπὸν μὲν οὖν, ὦ ἄνδρες δικασταὶ, ἀπολογεῖσθαι πρὸς δόξαν, ἣν ἔνιοι ἔχουσι περὶ τῆς Νικοφήμου οὐσίας, καὶ σπάνιν ἀργυρίου, ἣ νῦν ἐστιν ἐν τῇ πόλει, καὶ τοῦ ἀγῶνος πρὸς τὸ δημόσιον ὄντος· ὅμως δὲ καὶ τούτων ὑπαρχόντων, ῥᾳδίως γνώσεσθε, ὅτι οὐκ ἀληθῆ ἐστι τὰ κατηγορημένα. δέομαι δ' ὑμῶν πάσῃ τέχνῃ καὶ μηχανῇ μετ' εὐνοίας ἀκροασαμένους ἡμῶν διὰ τέλους, ὅ, τι ἂν ὑμῖν ἄριστον καὶ εὐορκότατον νομίζητε εἶναι, τοῦτο ψηφίσασθαι. πρῶτον μὲν οὖν, ᾧ τρόπῳ κηδεσταὶ ἡμῖν ἐγένοντο, διδάξω ὑμᾶς. στρατηγῶν γὰρ Κόνων περὶ Πελοπόννησον, τριηραρχήσαντι τῷ ἐμῷ πατρὶ πάλαι φίλος γεγενημένος, ἐδεήθη δοῦναι τὴν ἀδελφὴν αἰτοῦντι τῷ υἱεῖ τῷ Νικοφήμου. ὁ δὲ, ὁρῶν αὐτοὺς ὑπ' ἐκείνου τε πεπιστευμένους, γεγονότας τε ἐπιεικεῖς, τῇ τε πόλει ἔν γε τῷ τότε χρόνῳ ἀρέσκοντας, ἐπείσθη δοῦναι, οὐκ εἰδὼς τὴν ἐσομένην διαβολὴν

ἄλλως τε καὶ ὑμῶν ὁστισοῦν ἂν ἐκείνοις ἠξίωσε κ
δεστὴς γενέσθαι. ἐπεὶ, ὅτι γε οὐ χρημάτων ἕνεκ
ῥᾴδιον γνῶναι ἐκ τοῦ βίου παντὸς καὶ τῶν ἔργ
τῶν τοῦ πατρός. ἐκεῖνος γὰρ ὅτ' ἦν ἐν τῇ ἡλικί
παρὸν μετὰ πολλῶν χρημάτων γῆμαι ἄλλην, τὴν ἐμ
μητέρα ἔλαβεν οὐδὲν ἐπιφερομένην· ὅτι δὲ Ξενοφῶ
τος ἦν θυγάτηρ τοῦ Εὐριπίδου υἱέος, ὃς οὐ μόν
ἰδίᾳ χρηστὸς ἐδόκει εἶναι, ἀλλὰ καὶ στρατηγεῖν α
τὸν ἠξιώσατε, ὡς ἐγὼ ἀκούω. τὰς τοίνυν ἐμὰς ἀδε
φὰς, θελόντων τινῶν λαβεῖν ἀπροίκους πάνυ πλο
σίων, οὐ δέδωκεν, ὅτι ἐδόκουν κάκιον γεγονέν
ἀλλὰ τὴν μὲν Φιλομήλῳ τῷ Παιανιεῖ, ὃν οἱ πολλ
βελτίονα ἡγοῦνται εἶναι, ἢ πλουσιώτερον· τὴν
πένητι γεγεννημένῳ, οὐ διὰ κακίαν, ἀδελφιδῷ
Φαίδρῳ ὄντι Μυῤῥινουσίῳ, ἐπιδοὺς τετταράκον
μνᾶς, καὶ Ἀριστοφάνει, τὸ ἴσον. πρὸς δὲ τοῦτο
ἐμοὶ πολλὴν ἔχὸν πάνυ προῖκα λαβεῖν, ἐλάττω συν
βούλευσεν· ὥστε εὖ οἶδέναι, ὅτι κηδεστῆς χρησο
μην κοσμίοις καὶ σώφροσι. καὶ νῦν ἔχω γυναῖ
τὴν Κριτοδήμου θυγατέρα τοῦ Ἀλωπεκῆθεν,
ὑπὸ Λακεδαιμονίων ἀπέθανεν, ὅτε ἡ ναυμαχία ἐγ
νετο ἐν Ἑλλησπόντῳ. καίτοι, ὦ ἄνδρες δικασται
ὅστις αὐτός τε ἄνευ χρημάτων ἔγημε, ταῖν τε θυγ
τέροιν πολὺ ἀργύριον ἐπέδωκε, τῷ τε υἱῷ ὀλίγ
προῖκα ἔλαβε, πῶς οὐκ εἰκὸς περὶ τούτου πιστεύει
ὡς οὐχ ἕνεκα χρημάτων τούτοις κηδεστὴς ἐγένετ
ἀλλὰ μὲν ὅ γε Ἀριστοφάνης ἤδη ἔχων τὴν γυναῖκ
ὅτι πολλοῖς ἂν μᾶλλον ἐχρῆτο, ἢ τῷ ἐμῷ πατρὶ, ῥ
διον γνῶναι. ἥ τε γὰρ ἡλικία πολὺ διάφορος, ἥ

φυσις ἔτι πλέον. ἐκείνῳ μὲν γὰρ ἦν τὰ ἑαυτοῦ πράττειν. Ἀριστοφάνης δὲ οὐ μόνον τῶν ἰδίων, ἀλλὰ καὶ τῶν κοινῶν ἐβούλετο ἐπιμελεῖσθαι, καὶ εἴ τι ἦν αὐτῷ ἀργύριον, ἀνήλωσεν ἐπιθυμῶν τιμᾶσθαι. γνώσεσθε δὲ, ὅτι ἀληθῆ λέγω, ἐξ αὐτῶν, ὧν ἐκεῖνος ἔπραττε. πρῶτον μὲν γὰρ, βουλομένου Κόνωνος πέμπειν τινὰ εἰς Σικελίαν, ᾤχετο ὑποστὰς μετὰ Εὐνόμου καὶ Λυσίου, φίλου ὄντος καὶ ξένου, τὸ πλῆθος τὸ ὑμέτερον πλεῖστα ἀγαθὰ πεποιηκότος, ὡς ἐγὼ ἀκήκοα τῶν ἐν Πειραιεῖ τῶν παραγενομένων. ἦσαν δ' ἐλπίδες τοῦ πλοῦ, πεῖσαι Διονύσιον, κηδεστὴν μὲν γενέσθαι Εὐαγόρᾳ, πολέμιον δὲ Λακεδαιμονίοις, φίλον δὲ καὶ σύμμαχον τῇ πόλει τῇ ὑμετέρᾳ. καὶ ταῦτ' ἔπραττον πολλῶν κινδύνων ὑπαρχόντων πρὸς τὴν θάλασσαν καὶ τοὺς πολεμίους, καὶ ἔπεισαν Διονύσιον μὴ πέμψαι τριήρεις, ἃς τότε παρεσκευάσατο, Λακεδαιμονίοις. μετὰ δὲ ταῦτα ἐπειδὴ οἱ πρέσβεις ἦκον ἐκ Κύπρου ἐπὶ τὴν βοήθειαι, οὐδὲν ἐνέλιπε προθυμίας σπεύδων· ὑμεῖς δὲ τριήρεις αὐτοῖς ἔδοτε, καὶ ταλλα ἐψηφίσασθε. ἀργυρίου δ' εἰς τὸν ἀπόστολον ἠπόρουν. ὀλίγα μὲν γὰρ ἦλθον ἔχοντες χρήματα, πολλῶν δὲ προσεδεήθησαν. οὐ γὰρ μόνον εἰς τὰς ναῦς, ἀλλὰ καὶ πελταστὰς ἐμισθώσαντο, καὶ ὅπλα ἐπρίαντο. Ἀριστοφάνης δ' οὖν τῶν χρημάτων τὰ μὲν πλεῖστα αὐτὸς παρέσχεν· ἐπειδὴ δὲ οὐχ ἱκανὰ ἦν, τοὺς φίλους ἔπειθε δεόμενος, καὶ ἐγγυώμενος, καὶ τοῦ ἀδελφοῦ τοῦ ὁμοπατρίου ἀποκειμένας παρ' αὐτῷ τεσσαράκοντα μνᾶς, εὐπόρων, κατεχρήσατο. τῇ δὲ προτεραίᾳ ἢ ἀνήγετο, εἰσελθὼν

ὡς τὸν πατέρα τὸν ἐμὸν, ἐκέλευσε χρῆσαι ὅ, τι εἴη ἀργύριον. προσδεῖν γὰρ ἔφη πρὸς τὸν μισθὸν τοῖς πελτασταῖς. ἦσαν δ' ὑμῖν ἔνδον ἑπτὰ μναῖ. ὁ δὲ καὶ ταύτας λαβὼν κατεχρήσατο. Ὑτίνα γὰρ οἴεσθε, ὦ ἄνδρες δικασταὶ, φιλότιμον μὲν ὄντα, ἐπιστολῶν δὲ ἡκουσῶν αὐτῷ παρὰ τοῦ πατρὸς, μηδὲν ἀπορήσειν ἐκ Κύπρου, ῥηθέντα δὲ πρεσβευτὴν, καὶ μέλλοντα πλεῖν ὡς Εὐαγόραν, ὑπολείπεσθαι ἄν τι τῶν ὄντων; ἀλλ' οὐχὶ ὧν γε δυνατὸς, πάντα παρασχόντα χαρίσασθαι ἐκείνῳ τε, καὶ κομίσασθαι μὴ ἐλάττω; ὡς τοίνυν ταῦτ' ἐστιν ἀληθῆ, κάλει μοι Εὔνομον. ΜΑΡΤΤΡΕΣ. Τῶν μὲν μαρτύρων ἀκούετε, οὐ μόνον ὅτι ἐχρήσαντο ἐκείνου δεηθέντος, ἀλλὰ καὶ ὅτι ἀπειλήφασιν. ἐκομίσθη γὰρ αὐτοῖς ἐπὶ τῆς τριήρους. ῥᾴδιον μὲν οὖν ἐκ τῶν εἰρημένων γνῶναι, ὅτι, τοιούτων καιρῶν συμπεσόντων, οὐδενὸς ἂν ἐφείσατο τῶν ἑαυτοῦ. ὃ δὲ μέγιστον τεκμήριον· Δῆμος γὰρ ὁ Πυριλαμποῦς, τριηραρχῶν εἰς Κύπρον, ἐδεήθη μου προσελθεῖν αὐτῷ, λέγων, ὅτι ἔλαβε σύμβολον παρὰ βασιλέως τοῦ μεγάλου φιάλης μὲν χρυσῆς, ὡς Ἀριστοφάνην λαβεῖν ἑκκαίδεκα μνᾶς ἐπ αὐτῇ, ἃς ἔχοι ἀναλίσκειν εἰς τὰς τριηραρχίας· ἐπειδὴ δὲ εἰς Κύπρον ἀφίκοιτο, λύσασθαι, ἀποδοὺς εἴκοσι μνᾶς· πολλῶν γὰρ ἀγαθῶν καὶ ἄλλων χρημάτων εὖ πορήσειν, διὰ τὸ σύμβολον, ἐν πάσῃ τῇ ἠπείρῳ. Ἀριστοφάνης τοίνυν ἀκούων μὲν ταῦτα Δήμου, δεομένου δέ μου, μέλλων δ' ἄξειν χρυσίον, τέτταρας δὲ μνᾶς τόκον λήψεσθαι· οὐκ ἔφη εἶναι, ἀλλ' ὤμνυε καὶ προσδεδανεῖσθαι τοῖς ξένοις ἄλλοθεν· ἐπειδὴ

ἥδιστ᾽ ἀνθρώπων, ἄγειν τε εὐθὺς ἐκεῖνο τὸ σύμβολον, καὶ χαρίσασθαι ἡμῖν ἃ ἐδεόμεθα. ὡς δὲ ταῦτ᾽ ἐστὶν ἀληθῆ, μάρτυρας ὑμῖν παρέξομαι. ΜΑΡΤΤΡΕΣ. Ὅτι μὲν τοίνυν οὐ κατέλιπεν Ἀριστοφάνης ὑργύριον, οὐδὲ χρυσίον, ῥᾴδιον γνῶναι ἐκ τῶν εἰρημένων καὶ μεμαρτυρημένων. χαλκώματα δὲ σύμμικτα οὐ πολλὰ ἐκέκτητο. ἀλλὰ καὶ ὅθ᾽ εἱστία τοὺς παρ᾽ Εὐαγόρου πρεσβεύοντας, αἰτησάμενος ἐχρήσατο. ἃ δὲ κατέλιπεν, ἀναγνώσεται ὑμῖν. Ἴσως ἐνίοις ὑμῶν, ὦ ἄνδρες δικασταί, δοκεῖ ὀλίγα εἶναι· ἀλλ᾽ ἐκεῖνο ἐνθυμεῖσθε, ὅτι πρὶν Νικοφήμῳ ἢ καὶ Ἀριστοφάνει πρὶν τὴν ναυμαχίαν νικῆσαι, γῆ μὲν οὐκ ἦν, ἀλλ᾽ ἢ χωρίδιον μικρὸν Ῥαμνοῦντι. ἐγένετο δὲ ναυμαχία ἐπ᾽ Εὐβούλου ἄρχοντος. ἐν οὖν τέτταρσιν ἢ πέντε ἔτεσι, πρότερον μὴ ὑπαρχούσης οὐσίας, χαλεπὸν, ὦ ἄνδρες δικασταὶ, τραγῳδοῖς τε δὶς χορηγῆσαι ὑπὲρ αὐτοῦ τε καὶ τοῦ πατρὸς, καὶ τρία ἔτη συνεχῶς τριηραρχῆσαι, εἰσφοράς τε πολλὰς εἰσενηνοχέναι, οἰκίαν τε πεντήκοντα μνῶν πρίασθαι, γῆς τε πλέον ἢ τριακόσια πλέθρα κτήσασθαι· ἔτι δὲ πρὸς τούτοις οἴεσθαι χρῆναι ἔπιπλα πολλὰ καταλελοιπέναι. ἀλλ᾽ οὐδὲ οἱ πάλαι πλούσιοι δοκοῦντες εἶναι, ἄξιον λόγου ἔχοιεν ἐξενεγκεῖν. ἐνίοτε γὰρ οὐκ ἔστιν, οὐδ᾽ ἐάν τις πάνυ ἐπιθυμῇ πρίασθαι τοιαῦτα, ἃ πτησαμένῳ εἰς τὸν λοιπὸν χρόνον ἡδονὴν ἂν παρέχοι. ἀλλὰ τόδε σκοπεῖτε. τῶν ἄλλων ὅσων ἐδημεύσατε χρήματα, οὐχ ὅπως σκεύη ἀπέδοσθε, ἀλλὰ καὶ αἱ θύραι ἀπὸ τῶν οἰκημάτων ἀπεσπάσθησαν· ἡμεῖς δὲ, ἤδη δεδημευμένων, καὶ ἐξεληλυθυίας τῆς

ἐμῆς ἀδελφῆς, φύλακας κατεστήσαμεν τῇ ἐμῇ οἰκίᾳ, ἵνα μήτε θυρώματα, μήτε ἄγγεῖα, μήτε ἄλλο μηδὲν ἀπόλοιτο. ἔπιπλα δὲ ἀπεφαίνοντο πλείω ἢ χιλίων δραχμῶν, ὅσα οὐδενὸς πώποτ' ἐλάβετε. πρὸς δὲ τούτοις, καὶ πρότερον πρὸς τοὺς συνδίκους καὶ νῦν ἐθέλομεν πίστιν δοῦναι, ἥτις ἐστὶ μεγίστη τοῖς ἀνθρώποις, μὴ ἔχειν τῶν Ἀριστοφάνους χρημάτων· ὀφείλεσθαι δὲ τὴν προῖκα τῆς ἀδελφῆς, καὶ ἑπτὰ μνᾶς, ἃς ᾤχετο λαβὼν παρὰ τοῦ πατρὸς τοῦ ἐμοῦ. πῶς ἂν οὖν εἶεν ἄνθρωποι ἀθλιώτεροι, ἢ εἰ τὰ σφέτερ' αὐτῶν ἀπολωλεκότες δοκοῖεν τἀκείνων ἔχειν; ὃ δὲ πάντων δεινότατον, τὴν ἀδελφὴν ὑποδέξασθαι παιδία ἔχουσαν πολλά, καὶ ταῦτα τρέφειν, μηδ' αὐτοὺς ἔχοντας μηδέν, ἐὰν ὑμεῖς τὰ ὄντ' ἀφέλησθε. φέρε πρὸς θεῶν ὀλυμπίων. οὕτω γὰρ σκοπεῖτε, ὦ δικασταί· εἴ τις ὑμῶν ἔτυχε δοὺς Τιμοθέῳ τῷ Κόνωνος τὴν θυγατέρα ἢ τὴν ἀδελφὴν, καὶ ἐκείνου ἀποδημήσαντος καὶ ἐν διαβολῇ γενομένου ἐδημεύθη ἡ οὐσία, καὶ μὴ ἐγένετο τῇ πόλει πραθέντων ἁπάντων τέτταρα τάλαντα ἀργυρίου, διὰ τοῦτ' οὖν ἠξιοῦτε τοὺς ἐκείνου καὶ τοὺς προσήκοντας ἀπολέσθαι, ὅτι οὐδὲ πολλοστὸν μέρος τῆς δόξης τῆς παρ' ὑμῖν ἐφάνη τὰ χρήματα; ἀλλὰ μὲν τούτοιν πάντες ἐπίστασθε, Κόνωνα μὲν ἄρχοντα, Νικόφημον δὲ ποιοῦντα ὅ, τι ἐκεῖνος προστάττοι. τῶν οὖν ὠφελειῶν Κόνωνα εἰκὸς πολλοστὸν μέρος ἄλλῳ τινὶ μεταδιδόναι· ὥστ' εἰ οἴονται πολλὰ γενέσθαι Νικοφήμῳ, ὁμολογήσειαν τὰ Κόνωνος εἶναι πλείονα ἢ δεκαπλάσια. ἔτι δὲ φαίνονται οὐδὲν πώποτε διενεχθέντες. ὥστ

εἰκος καὶ περὶ τῶν χρημάτων ταὐτὰ γνῶναι· ἱκανὰ μὲν ἐνθάδε τῷ υἱεῖ ἑκάτερον καταλιπεῖν, τὰ δὲ ἄλλα παρ' αὐτοῖς ἔχειν. ἦν γὰρ Κόνωνι μὲν υἱὸς ἐν Κύπρῳ, καὶ γυνή· Νικοφήμῳ δὲ, γυνὴ καὶ θυγάτηρ. ἡγοῦντο δὲ καὶ τὰ ἐκεῖ ὅμως σφίσιν εἶναι, ὅσα [ὥσπερ] καὶ τὰ ἐνθάδε. πρὸς δὲ τούτοις ἐνθυμεῖσθε, ὅτι καὶ εἴ τις μὴ κτησάμενος, ἀλλὰ παρὰ τοῦ πατρὸς παραλαβὼν τοῖς παισὶ διένεμεν, οὐκ ἂν ἐλάχιστα ἂν αὐτῷ ὑπέλιπε. βούλονται γὰρ πάντες ὑπὸ τῶν παίδων θεραπεύεσθαι, ἔχοντες χρήματα μᾶλλον, ἢ ἐκείνων δεῖσθαι ἀποροῦντες. νῦν τοίνυν εἰ δημεύσαιτε τὰ τοῦ Τιμοθέου, (ὃ μὴ γένοιτο, εἰ μή τι μέλλει μέγα ἀγαθὸν ἔσεσθαι τῇ πόλει) ἐλάττω ἐὰν ἐξ αὐτῶν λάβοιτ', ἢ ἐκ τῶν Ἀριστοφάνους γεγένηται· τούτου ἕνεκα ἠξιοῦτε τοὺς ἀναγκαίους τοὺς ἐκείνου τὰ σφέτερ' αὐτῶν ἀπολέσαι; ἀλλ' οὐκ εἰκὸς, ὦ ἄνδρες δικασταί· ὁ γὰρ Κόνωνος θάνατος καὶ οἱ διαθῆκαι, ἃς διέθετο ἐν Κύπρῳ, σαφῶς ἐδήλωσαν, ὅτι πολλοστὸν μέρος ἦν τὰ χρήματα ὧν ὑμεῖς προσεδοκᾶτε. τῇ μὲν γὰρ Ἀθηνᾷ καθιέρωσεν εἰς ἀναθήματα, καὶ τῷ Ἀπόλλωνι εἰς Δελφοὺς, πεντακισχιλίους στατῆρας· τῷ δὲ ἀδελφιδῷ τῷ ἑαυτοῦ, ὃς ἐφύλαττεν αὐτῷ καὶ ἐταμίευε πάντα τὰ ἐν Κύπρῳ, ἔδωκεν ὡς μυρίας δραχμὰς· τῷ δὲ ἀδελφῷ τρία τάλαντα· τὰ δὲ λοιπὰ τῷ υἱεῖ κατέλιπε, τάλαντα ἑπτακαίδεκα. τούτων δὲ κεφάλαιον γίγνεται περὶ τετταράκοντα τάλαντα. καὶ οὐδενὶ οἷόν τε εἰπεῖν, ὅτι διηρπάσθη, ἢ ὡς οὐ δικαίως ἀπεφάνθη. αὐτὸς γὰρ ἐν τῇ νόσῳ ὢν, εὖ φρονῶν ᾔσθετο. καί μοι κἀκεῖ τούτων μὰ-

τυρας. ΜΑΡΤΥΡΕΣ. Ἀλλὰ μὴν ὅστις οὗν, ὦ ἄνδρες δικασταὶ, πρὶν ἀμφότερα δῆλα γενέσθαι, πολλοστὸν μέρος τὰ Νικοφήμου τῶν Κόνωνος χρημάτων ᾠήθησαν εἶναι. Ἀριστοφάνης τοίνυν γῆν μὲν καὶ οὐσίαν ἐκτήσατο πλέον ἢ πέντε ταλάντων, καὶ ἐχορήγησε δὲ ὑπὲρ αὐτοῦ καὶ τοῦ πατρὸς πεντακισχιλίας δραχμάς· τριηραρχῶν δὲ ἀνήλωσεν ὀγδοήκοντα μνᾶς. εἰσενήνεκται δὲ ὑπὲρ ἀμφοτέρων οὐκ ἔλαττον μνῶν τετταράκοντα. εἰς δὲ τὸν ἐν Σικελίᾳ πλοῦν ἀνήλωσεν ἑκατὸν μνᾶς, εἰς δὲ τὸν ἀπόστολον τῶν τριήρων, ὅτε οἱ Κύπριοι ἦλθον, καὶ ἔδοτε αὐτοῖς τὰς δέκα ναῦς, καὶ τῶν πελταστῶν τὴν μίσθωσιν, καὶ τῶν ὅπλων τὴν ὠνὴν, παρέσχε τρισμυρίας δραχμάς. καὶ τούτων κεφάλαιον πάντων γίγνεται, μικροῦ λείποντος, πεντεκαίδεκα τάλαντα. ὥστε οὐκ ἂν εἰκότως ἡμᾶς αἰτιᾶσθε. ἐπεὶ τῶν Κόνωνος, τῶν ὁμολογουμένων δικαίως ἀποφανθῆναι ὑπ' αὐτοῦ ἐκείνου, πολλαπλασίων δοκούντων εἶναι, πλέον ἢ τρίτον μέρος φαίνεται τὰ Ἀριστοφάνους. καὶ οὐ προσλογιζόμεθα ὅσα αὐτὸς ἐν Κύπρῳ ἔσχε Νικόφημος, οὔσης αὐτῷ ἐκεῖ γυναικὸς καὶ θυγατρός. ἐγὼ μὲν οὐκ ἀξιῶ, ὦ ἄνδρες δικασταὶ, οὕτω πολλὰ καὶ μεγάλα τεκμήρια παρασχομένους ἡμᾶς ἀπολέσθαι ἀδίκως. ἀκήκοα γὰρ ἔγωγε καὶ τοῦ πατρὸς καὶ ἄλλων πρεσβυτέρων, ὅτι οὐ νῦν μόνον, ἀλλὰ καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ, πολλῶν ἐψεύσθητε τῆς οὐσίας· οἳ ζῶντες μὲν πλουτεῖν ἐδόκουν, ἀποθανόντες δὲ, πολὺ παρὰ τὴν δόξαν τὴν ὑμετέραν ἐφάνησαν. αὐτίκα Ἰσχομάχῳ, ἕως ἔζη, πάντες ᾤοντο εἶναι πλείω

ἢ ἑβδομήκοντα τάλαντα, ὡς ἐγὼ ἀκούω. ἐνειμάσθην δὲ τὼ υἱέε οὐδὲ δέκα τάλαντα ἑκατέρῳ ἀποθανόντος. Στεφάνῳ δὲ τῷ Θαλλοῦ ἐλέγετο εἶναι πλέον ἢ πεντήκοντα ταλάντων, ἀποθανόντος δ' ἡ οὐσία ἐφάνη περὶ ἔνδεκα τάλαντα. ὁ τοίνυν Νικίου οἶκος προσεδοκᾶτο εἶναι οὐκ ἔλαττον ἢ ἑκατὸν ταλάντων, καὶ τούτων τὰ πολλὰ ἔνδον ἦν. Νικήρατος δ' ὅτ' ἀπέθνησκεν, ἀργύριον μὲν ἢ χρυσίον οὐδ' αὐτὸς ἔφη καταλιπεῖν οὐδέν· ἀλλὰ τὴν οὐσίαν, ἣν κατέλιπε τῷ υἱεῖ, οὐ πλείονος ἀξία ἐστὶν ἢ τεττάρων καὶ δέκα ταλάντων. | Καλλίας τοίνυν ὁ Ἱππονίκου, ὃς, ὅτε νεωστὶ ἐτεθνήκει ὁ πατήρ, πλεῖστα τῶν Ἑλλήνων ἐδόκει κεκτῆσθαι, (καὶ, ὡς φησι, διακοσίων ταλάντων ἐτιμήσατο αὐτοῦ ὁ πάππος τότε) τούτου ταὐτὶ τίμημ' οὐδὲ δυοῖν ταλάντοιν ἐστί. Κλεοφῶντα δὲ πάντες ἴστε, ὅτι πολλὰ ἔτη διεχείρισε τὰ τῆς πόλεως πάντα, καὶ προσεδοκᾶτο πάνυ πολλὰ ἐκ τῆς ἀρχῆς ἔχειν· ἀποθανόντος δ' αὐτοῦ, οὐδαμοῦ δῆλα τὰ χρήματα· ἀλλὰ καὶ οἱ προσήκοντες καὶ οἱ κηδεσταί, παῦ οἷς κατέλιπεν, ὁμολογουμένως πένητες εἰσί. φαινόμεθα καὶ τῶν ἀρχαιοπλούτων πολὺ ἐψευσμένοι, καὶ τῶν νεωστὶ ἐν δόξῃ γεγενημένων. αἴτιον δέ μοι δοκεῖ εἶναι, ὅτι ῥᾳδίως τινὲς τολμῶσι λέγειν, ὡς ὁ δεῖνα ἔχει τάλαντα πολλὰ ἐκ τῆς ἀρχῆς. καὶ ὅσα μὲν περὶ τεθνεώτων λέγουσιν, οὐ πάνυ θαυμάζω (οὐ γὰρ ὑπό γε ἐκείνων ἐξελεγχθεῖεν ἄν·) ἀλλ' ὅσα ζώντων ἐπιχειροῦσι καταψεύδεσθαι. αὐτοὶ γὰρ ἔνδικος ἠκούετε ἐν τῇ ἐκκλησίᾳ, ὡς Διότιμος ἔχοι τάλαντα τετταράκοντα πλείω, ὅσα αὐτὸς ὡμολόγει,

τυρας. ΜΑΡΤΥΡΕΣ. Ἀλλὰ μὴν ὅστις οὖν, ὦ ἄνδρες δικασταὶ, πρὶν ἀμφότερα δῆλα γενέσθαι, πολλοστὸν μέρος τὰ Νικοφήμου τῶν Κόνωνος χρημάτων φήσουσιν εἶναι. Ἀριστοφάνης τοίνυν γῆν μὲν καὶ οὐσίαν ἐκτήσατο πλέον ἢ πέντε ταλάντων, καὶ ἐχορήγησε δὲ ὑπὲρ αὐτοῦ καὶ τοῦ πατρὸς πεντακισχιλίας δραχμάς· τριηραρχῶν δὲ ἀνήλωσεν ὀγδοήκοντα μνᾶς. ἠσενήνεκται δὲ ὑπὲρ ἀμφοτέρων οὐκ ἔλαττον μνῶν τετταράκοντα. εἰς δὲ τὸν ἐν Σικελίᾳ πλοῦν ἀνήλωσεν ἑκατὸν μνᾶς, εἰς δὲ τὸν ἀπόστολον τῶν τριήρων, ὅτε οἱ Κύπριοι ἦλθον, καὶ ἔδοτε αὐτοῖς τὰς δέκα ναῦς, καὶ τῶν πελταστῶν τὴν μίσθωσιν, καὶ τῶν ὅπλων τὴν ὠνὴν, παρέσχε τρισμυρίας δραχμάς. καὶ τούτων κεφάλαιον πάντων γίγνεται, μικροῦ λείποντος, πεντεκαίδεκα τάλαντα. ὥστε οὐκ ἂν εἰκότως ἡμᾶς αἰτιᾶσθε. ἐπεὶ τῶν Κόνωνος, τῶν ὁμολογουμένων δικαίως ἀποφανθῆναι ὑπ' αὐτοῦ ἐκείνου, πολλαπλασίων δοκούντων εἶναι, πλέον ἢ τρίτον μέρος φαίνεται τὰ Ἀριστοφάνους. καὶ οὐ προσλογιζόμεθα ὅσα αὐτὸς ἐν Κύπρῳ ἔσχε Νικόφημος, οὖσης αὐτῷ ἐκεῖ γυναικὸς καὶ θυγατρός. ἐγὼ μὲν οὐκ ἀξιῶ, ὦ ἄνδρες δικασταὶ, οὕτω πολλὰ καὶ μεγάλα τεκμήρια παρασχομένους ἡμᾶς ἀπολέσθαι ἀδίκως. ἀκήκοα γὰρ ἔγωγε καὶ τοῦ πατρὸς καὶ ἄλλων πρεσβυτέρων, ὅτι οὐ νῦν μόνον, ἀλλὰ καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ, πολλῶν ἐψεύσθητε τῆς οὐσίας· οἱ ζῶντες μὲν πλουτεῖν ἐδόκουν, ἀποθανόντες δὲ, πολὺ παρὰ τὴν δόξαν τὴν ὑμετέραν ἐφάνησαν. αὐτίκα Ἰσχομάχῳ, ἕως ἔζη, πάντες ᾤοντο εἶναι πλείω

ἢ ἑβδομήκοντα τάλαντα, ὡς ἐγὼ ἀκούω. ἐνειμάσθην δὲ τὸ νέμε οὐδὲ δέκα τάλαντα ἑκατέρῳ ἀποθανόντος. Στεφάνῳ δὲ τῷ Θαλλοῦ ἐλέγετο εἶναι πλέον ἢ πεντήκοντα ταλάντων, ἀποθανόντος δ' ἡ οὐσία ἐφάνη περὶ ἔνδεκα τάλαντα. ὁ τοίνυν Νικίου οἶκος προσεδοκᾶτο εἶναι οὐκ ἔλαττον ἢ ἑκατὸν ταλάντων, καὶ τούτων τὰ πολλὰ ἔνδον ἦν. Νικήρατος δ' ὅτ' ἀπέθνησκεν, ἀργύριον μὲν ἢ χρυσίον οὐδ' αὐτὸς ἔφη καταλιπεῖν οὐδέν· ἀλλὰ τὴν οὐσίαν, ἣν κατέλιπε τῷ υἱεῖ, οὐ πλείονος ἀξία ἐστὶν ἢ τεττάρων καὶ δέκα ταλάντων. | Καλλίας τοίνυν ὁ Ἱππονίκου, ὃς, ὅτε νεωστὶ ἐτεθνήκει ὁ πατὴρ, πλεῖστα τῶν Ἑλλήνων ἐδόκει κεκτῆσθαι, (καὶ, ὡς φησι, διακοσίων ταλάντων ἐτιμήσατο αὐτοῦ ὁ πάππος τότε) τούτου ταὐτὸ τίμημ' οὐδὲ δυοῖν ταλάντοιν ἐστί. Κλεοφῶντα δὲ πάντες ἴστε, ὅτι πολλὰ ἔτη διεχείρισε τὰ τῆς πόλεως πάντα, καὶ προσεδοκᾶτο πάνυ πολλὰ ἐκ τῆς ἀρχῆς ἔχειν· ἀποθανόντος δ' αὐτοῦ, οὐδαμοῦ δῆλα τὰ χρήματα· ἀλλὰ καὶ οἱ προσήκοντες καὶ οἱ κηδεσταὶ, παρ' οἷς κατέλιπεν, ὁμολογουμένως πένητες εἰσί. φαινόμεθα καὶ τῶν ἀρχαιοπλούτων πολὺ ἐψευσμένοι, καὶ τῶν νεωστὶ ἐν δόξῃ γεγενημένων. αἴτιον δέ μοι δοκεῖ εἶναι, ὅτι ῥᾳδίως τινὲς τολμῶσι λέγειν, ὡς ὁ δεῖνα ἔχει τάλαντα πολλὰ ἐκ τῆς ἀρχῆς. καὶ ὅσα μὲν περὶ τεθνεώτων λέγουσιν, οὐ πάνυ θαυμάζω (οὐ γὰρ ὑπό γε ἐκείνων ἐξελεγχθεῖεν ἄν·) ἀλλ' ὅσα ζώντων ἐπιχειροῦσι καταψεύδεσθαι. αὐτοὶ γὰρ ἔνωχλος ἠκούετε ἐν τῇ ἐκκλησίᾳ, ὡς Διότιμος ἔχοι τάλαντα τετταράκοντα πλείω, ὅσα αὐτὸς ὡμολόγει

παρὰ τῶν ναυκλήρων καὶ ἐμπόρων· καὶ ταῦτα, ἐπεὶ δὴ ἦλθεν, ἐκείνου ἀπογραφέντος, καὶ χαλεπῶς φέροντος, ὅτι ἀπὼν διεβάλλετο, οὐδεὶς ἐξήλεγξε· δεομένης μὲν τῆς πόλεως χρημάτων, ἐθέλοντος δὲ ἐκείνου λογίσασθαι. ἐνθυμεῖσθε τοίνυν, οἷον ἂν ἐγένετο, εἰ Ἀθηναίων ἁπάντων ἀκηκοότων, ὅτι τεττεράκοντα τάλαντα ἔχοι Διότιμος, εἶτα εἰ ἔπαθέ τι πρὶν καταπλεῦσαι δεῦρο. εἶτα οἱ προσήκοντες ἂν αὐτοῦ ἐν κινδύνῳ ἦσαν τῷ μεγίστῳ, εἰ ἔδει αὐτοὺ πρὸς τοσαύτην διαβολὴν ἀπολογεῖσθαι, μὴ εἰδόται μηδὲν τῶν πεπραγμένων. αἴτιοι οὖν εἰσι καὶ ὑμῖν πολλῶν ἤδη ψευσθῆναι, καὶ νὴ Δία ἀδίκως γέ τινας ῥᾳδίως ἀπολέσθαι, οἱ τολμῶντες ψεύδεσθαι καὶ συκοφαντεῖν ἀνθρώπους ἐπιθυμοῦντες. ἔπειτ᾽ οἴομαι ὑμᾶς εἰδέναι, ὅτι Ἀλκιβιάδης τέτταρα ἢ πέντε ἔτη ἐφεξῆς ἐστρατήγει ἐπικρατῶν, καὶ νενικηκὼς Λακεδαιμονίους, καὶ διπλάσια ἐκείνῳ ἠξίουν αἱ πόλεις διδόναι, ἢ ἄλλῳ τινὶ τῶν στρατηγῶν· ὥστ᾽ ᾤοντο εἶναι τινὲς αὐτῷ πλέον, ἢ ἑκατὸν τάλαντα. ὁ δ᾽ ἀποθανὼν ἐδήλωσεν, ὅτι οὐκ ἀληθὲς τοῦτο ἦν. ἐλάττω γὰρ οὐσίαν κατέλιπε τοῖς παισὶν, ἢ αὐτὸς παρὰ τῶν ἐπιτροπευσάντων παρέλαβεν. ὅτι μὲν οὖν καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ τοιαῦτα ἐγίγνετο, ῥᾴδιον γνῶναι. φασὶ δὲ καὶ τοὺς ἀρίστους καὶ σοφωτάτους μάλιστα ἐθέλειν μεταγινώσκειν. εἰ οὖν δοκοῦμεν εἰκότα λέγειν, καὶ ἱκανὰ τεκμήρια παρέχεσθαι, ὦ ἄνδρες δικασταὶ, πάσῃ τέχνῃ καὶ μηχανῇ ἐλεήσατε. ὡς ἡμεῖς, τῆς μὲν διαβολῆς οὕτω μεγάλης οὔσης, ἀεὶ προσεδοκῶμεν κρατήσειν μετὰ τοῦ ἀληθοῦς· ὑμῶν

δὲ μηδενὶ τρόπῳ ἐθελησάντων πεισθῆναι, οὐδ' ἐλπὶς οὐδεμία σωτηρίας ἐδόκει ἡμῖν εἶναι. ἀλλὰ πρὸς θεῶν ὀλυμπίων, ὦ ἄνδρες δικασταὶ, βούλεσθε ἡμᾶς δικαίως σῶσαι μᾶλλον, ἢ ἀδίκως ἀπολέσαι. καὶ πιστεύετε τούτοις ἀληθῆ λέγειν, οἳ ἂν καὶ σιωπῶντες ἐν ἅπαντι τῷ βίῳ παρέχωσι σώφρονας σφᾶς αὐτοὺς καὶ δικαίους. περὶ μὲν οὖν αὐτῆς τῆς γραφῆς, καὶ ᾧ τρόπῳ κηδεσταὶ ἡμῖν ἐγένοντο, καὶ ὅτι οὐκ ἐξήρκει τὰ ἐκείνου εἰς τὸν ἔκπλουν, ἀλλὰ καὶ ὡς ἄλλοθεν προσεδανείσατο, ἀκηκόατε, καὶ μεμαρτύρηται ὑμῖν. περὶ δ' ἐμαυτοῦ βραχέα βούλομαι ὑμῖν εἰπεῖν. ἐγὼ γὰρ ἔτη γεγονὼς ἤδη τριάκοντα, οὔτε τῷ πατρὶ οὐδὲν πώποτε ἀντεῖπον, οὔτε τῶν πολιτῶν οὐδείς μοι ἐνεκάλεσεν· ἐγγύς τε οἰκῶν τῆς ἀγορᾶς, οὐδὲ πρὸς δικαστηρίῳ, οὐδὲ πρὸς βουλευτηρίῳ, ὤφθην οὐδεπώποτε, πρὶν ταύτην τὴν συμφορὰν γενέσθαι. περὶ μὲν οὖν ἐμαυτοῦ τοσαῦτα λέγω. περὶ δὲ τοῦ πατρὸς, ἐπειδὴ ὥσπερ ἀδικοῦντος αἱ κατηγορίαι γεγένηνται, συγγνώμην ἔχετε, ἐὰν λέγω, ἃ ἀνήλωσεν εἰς τὴν πόλιν καὶ εἰς τοὺς φίλους. οὐ γὰρ φιλοτιμίας ἕνεκεν, ἀλλὰ τεκμήριον ποιούμενος, ὅτι οὐ τοῦ αὐτοῦ ἐστιν ἀνδρὸς ἄνευ ἀνάγκης τε πολλὰ ἀναλίσκειν, καὶ μετὰ κινδύνου τοῦ μεγίστου ἐπιθυμῆσαι ἔχειν τι τῶν κοινῶν. εἰσὶ δέ τινες οἱ προαναλίσκοντες, οὐ μόνον τούτου ἕνεκεν, ἀλλ' ἵνα ἄρχειν ὑφ' ὑμῶν ἀξιωθέντες, διπλάσια κομίσωνται. ὁ τοίνυν ἐμὸς πατὴρ ἄρχειν μὲν οὐδεπώποτε ἐπεθύμησε, τὰς δὲ χορηγίας ἁπάσας κεχορήγηκε. τετριηράρχηκε δὲ ἑπτάκις, εἰσφορὰς δε πολλὰς καὶ μεγάλας εἰσενήνοχεν. ἵνα δὲ ἐν

δῆτα καὶ ὑμεῖς, καὶ καθ' ἑκάστην ἀναγνώσεται,
ἀκούετε, ὦ ἄνδρες δικασταί, τὸ πλῆθος. πεντήκον-
τα γὰρ ἔτη ἐστὶν, ὅσα ὁ πατὴρ αὐτοῖς χρήμασι καὶ
τῷ σώματι τῇ πόλει εἰλειτούργει. ἐν οὖν τοσούτῳ
χρόνῳ δοκοῦντάς τι ἐξ ἀρχῆς ἔχειν, οὐδεμίαν εἰκὸς
δαπάνην πεφευγέναι. ὅμως δὲ καὶ μάρτυρας ὑμῖν
παρέξομαι. ΜΑΡΤΤΡΕΣ. Τούτων συμπάντων κε-
φάλαιόν ἐστιν, ἐννέα τάλαντα καὶ δυσχίλιαι δραχμαί.
ἔτι τοίνυν καὶ ἰδίᾳ τισὶ τῶν πολιτῶν ἀποροῦσι συν-
εξέδωκε θυγατέρας καὶ ἀδελφάς, τοὺς δ' ἐλύσατο
ἐκ τῶν πολεμίων. τοῖς δ' εἰς ταφὴν παρεῖχεν ἀργύ-
ριον. καὶ ταῦτ' ἐποίει, ἡγούμενος εἶναι ἀνδρὸς ἀγα-
θοῦ ὠφελεῖν τοὺς φίλους, καὶ εἰ μηδεὶς μέλλοι εἴσε-
σθαι. νῦν δὲ πρέπον ἐστὶ καὶ ὑμᾶς ἀκοῦσαί μου.
καί μοι κάλει τὸν καὶ τόν. ΜΑΡΤΤΡΕΣ. Τῶν μὴ
οὖν μαρτύρων ἀκηκόατε· ἐνθυμεῖσθε δὲ, ὅτι ὀλίγο
μὲν χρόνον δύναιτ' ἄν τις πλάσασθαι τὸν τρόπον τ
αὐτοῦ, ἐν ἑβδομήκοντα δὲ ἔτεσιν οὐδ' ἂν εἷς λάθ
πονηρὸς ὤν. τῷ τοίνυν πατρὶ τῷ ἐμῷ ἄλλα μὲν
τις ἔχοι ἐπικαλέσαι ἴσως· εἰς χρήματα δὲ οὐδεὶς
τῶν ἐχθρῶν ἐτόλμησε πώποτε. οὔκουν ἄξιον
τῶν κατηγόρων λόγοις πιστεῦσαι μᾶλλον, ἢ τοῖ
γοις, ἃ ἐπράχθη ἐν ἅπαντι τῷ βίῳ, καὶ τῷ χ
ὧν ὑμεῖς σαφέστατον ἔλεγχον τοῦ ἀληθοῦς νομ
εἰ γὰρ μὴ ἦν τοιοῦτος οὐκ ἂν ἐκ πολλῶν ὀλί
τέλιπεν. ἐπεὶ εἰ νῦν γε ἐξαπατηθείητε ὑπὸ τ
καὶ δημεύσαιθ' ἡμῶν τὴν οὐσίαν, οὐδὲ δύο τ
λήψοιτ' ἄρ'. ὥστε οὐ μόνον πρὸς δόξαν,
εἰς χρημάτων λόγον λυσιτελεῖ μᾶλλον ὑμῖν

φίσασθαι. πολὺ γὰρ πλείω ὠφεληθήσεσθε, ἂν ἡμεῖς ἔχωμεν. σκοπεῖτε δὲ ἐκ τοῦ παρεληλυθότος χρόνου, ὅσα φαίνεται ἀνηλωμένα εἰς τὴν πόλιν· καὶ νῦν ἀπὸ τῶν ὑπολοίπων τριηραρχῶ μὲν ἐγὼ, τριηραρχῶν δὲ ὁ πατὴρ ἀπέθανεν. πειράσομαι δ', ὥσπερ ἐκεῖνον ἐώρων, ὀλίγα κατὰ μικρὸν παρασκευάσασθαι εἰς τὰς κοινὰς ὠφελείας. ὥστε τῷ γ' ἔργῳ πάλαι ταῦτ' ἐστὶ, καὶ οὔτ' ἐγὼ ἀφῃρημένος ἀδικεῖσθαι οἰήσομαι, ὑμῖν τε πλείους οὕτως αἱ ὠφέλειαι, ἢ εἰ δημεύσαιτε. πρὸς δὲ τούτοις, ἄξιον ἐνθυμηθῆναι, οἵαν φύσιν εἶχεν ὁ πατήρ. ὅσα γὰρ ἔξω τῶν ἀναγκαίων ἐπεθύμησεν ἀναλίσκειν, πάντα φανήσεται τοιαῦτα, ὅθεν καὶ τῇ πόλει τιμὴ ἔμελλεν ἕσεσθαι. αὐτίκα, ὅτε ἵππευεν, οὐ μόνον ἵππους ἐκτήσατο λαμπρούς, ἀλλὰ καὶ ἀθλητὰς ἐνίκησεν, Ἰσθμοῖ καὶ Νεμέᾳ· ὥστε τὴν πόλιν κηρυχθῆναι καὶ αὐτὸν στεφανωθῆναι. δέομαι οὖν ὑμῶν, ὦ ἄνδρες δικασταὶ, καὶ τούτων καὶ τῶν ἄλλων μεμνημένους ἁπάντων τῶν εἰρημένων, βοηθεῖν ἡμῖν, καὶ μὴ περιϊδεῖν ὑπὸ τῶν ἐχθρῶν ἀναιρεθέντας. καὶ ταῦτα ποιοῦντες, τά τε δίκαια ψηφιεῖσθε καὶ ὑμῖν αὐτοῖς τὰ συμφέροντα.

ΛΥΣΙΟΥ

ΥΠΕΡ ΠΟΛΥΣΤΡΑΤΟΥ, ΔΗΜΟΥ ΚΑΤΑΛΥΣΕΩΣ ΑΠΟΛΟΓΙΑ.

Οὔ μοι δοκεῖ χρῆναι ὀργίζεσθαι ὑμᾶς τῷ ὀνόματι τῷ τῶν τετρακοσίων, ἀλλὰ τοῖς ἔργοις ἐνίων. οἱ μὲν γὰρ ἐπιβουλεύσαντες ἦσαν αὐτῶν, οἱ δὲ μήτε ἵνα τὴν πόλιν μηδὲν κακὸν ἐργάσαιντο, μήθ' ὑμῶν μηδένα, ἀλλ' εὖνοι ὄντες, εἰσῆλθον εἰς τὸ βουλευτήριον. ὧν εἷς ὢν οὗτος τυγχάνει Πολύστρατος. οὗτος γὰρ ᾑρέθη μὲν ὑπὸ τῶν φυλετῶν, ὡς χρηστὸς ὢν ἀνὴρ καὶ περὶ τοὺς δημότας καὶ περὶ τὸ πλῆθος τὸ ὑμέτερον· κατηγοροῦσι δὲ αὐτοῦ, ὡς οὐκ εὔνους ἦν τῷ πλήθει τῷ ὑμετέρῳ, αἱρεθεὶς ὑπὸ τῶν φυλετῶν, οἵ ἄριστα διαγνοῖεν περὶ σφῶν αὐτῶν, ὁποῖοί τινες εἰσίν. οὗτος δὲ τίνος ἂν ἕνεκεν ὀλιγαρχίαν ἐπεθύμησε; πότερον ὡς ἡλικίαν εἶχε, λέγων τὶ δι πράττεσθαι παρ' ὑμῖν, ἢ τῷ σώματι πιστεύων, ἵ ὑβρίζοι εἰς τῶν ὑμετέρων τινά; ἀλλ' ὁρᾶτε αὐτ τὴν ἡλικίαν. ἢ καὶ τοὺς ἄλλους ἱκανόν ἐστιν ἃ τρέπειν τούτων; ὅστις μὲν οὖν ἄτιμος ὢν, κακ ἐργασάμενος ἐν τῷ πρόσθεν χρόνῳ, ἑτέρας πολι ἐπεθύμησε, διὰ τὰ πρόσθεν ἁμαρτήματα α

ἕνεκ᾽ ἄν ἔπραττε· τούτῳ δὲ τοιοῦτον οὐδὲν ἡμάρτηται, ὥστε αὐτοῦ ἕνεκα μισεῖν τὸ πλῆθος τὸ ὑμέτερον, ἢ τῶν παίδων. ὁ μὲν γὰρ ἐν Σικελίᾳ ἦν, οἱ δ᾽ ἐν Βοιωτοῖς· ὥστε μηδὲ τούτων ἕνεκεν ἑτέρας πολιτείας ἐπιθυμῆσαι, μηδὲ διὰ τὰ πρόσθεν ἁμαρτήματα. καὶ κατηγοροῦσι μὲν αὐτοῦ, ὡς πολλὰς ἀρχὰς ἦρξεν, ἀποδεῖξαι δὲ οὐδεὶς οἷός τέ ἐστιν, ὡς οὐ καλῶς ἦρξεν. ἐγὼ δὲ ἡγοῦμαι, οὐ τούτους ἀδικεῖν ἐν τοῖς πράγμασιν ἐκείνοις, ἀλλ᾽ εἴ τις ὀλίγας ἄρξας ἀρχὰς, μὴ τὰ ἄριστα ἦρξε τῇ πόλει. οὐ γὰρ οἱ καλῶς ἄρχοντες προὐδίδοσαν τὴν πόλιν, ἀλλ᾽ οἱ μὴ δικαίως. οὗτος δὲ πρῶτον μὲν ἄρξας ἐν Ὠρωπῷ, οὔτε προέδωκε, καὶ ἑτέραν πολιτείαν κατέστησε, τῶν ἄλλων ἁπάντων, ὅσοι ἦρχον, καταπροδόντων τὰ πράγματα. οἱ δ᾽ οὐχ ὑπέμειναν, καταγνόντες σφῶν αὐτῶν ἀδικεῖν· ὁ δὲ ἡγούμενος μηδὲν ἠδικηκέναι, δίκην δίδωσι. καὶ τοὺς μὲν ἀδικοῦντας οἱ κατήγοροι ἐκκλέπτουσιν, ἀργύριον λαμβάνοντες· παρ᾽ ὧν δ᾽ ἂν μὴ κερδαίνωσιν, ἀδικοῦντας ἀποφαίνουσι· καὶ δμοίας τὰς κατηγορίας ποιοῦνται τῶν τε εἰπόντων γνώμην τινὰ ἐν τῇ βουλῇ καὶ τῶν μή. οὗτος δὲ οὐδὲ γνώμην οὐδεμίαν εἶπε περὶ τοῦ ὑμετέρου πλήθους. ἐγὼ δ᾽ ἡγοῦμαι ἄξιους εἶναι τούτους μηδὲν πάσχειν ὑφ᾽ ὑμῶν κακὸν, εἰ ὑμῖν μὲν εὖνοι ἦσαν, ἐκείνοις δὲ οὐκ ἀπηχθάνοντο. τῶν γὰρ λεγόντων ἐναντία ἐκείνοις οἱ μὲν ἔφευγον, οἱ δὲ ἀπέθνησκον. ὥστε εἴ τις καὶ ἐβούλετο ἐναντιοῦσθαι ὑπὲρ ὑμῶν, τὸ δέος καὶ ὁ φόνος τῶν πεπονθότων ἀπέτρεπε πάντας. ὥστε οἱ πολλοὶ πάντα ἐγίγνωσκον αὐτῶν, τοὺς

μὲν γὰρ ἐξήλαυνον αὐτῶν, τοὺς δὲ ἀπεκτίνυνον. δὲ ἐκείνων ἔμελλον ἀκροᾶσθαι, καὶ μηδὲν ἐπιλ λεύειν, μηδὲ ἐξαγγέλλειν, τούτους ἂν καθίστα ὥστε οὐκ ἂν ῥᾳδίως μετέστη ἂν ὑμῖν ἡ πολιτ οὔκουν δίκαιοί εἰσιν, ὧν ὑμῖν εὖνοι ἦσαν, τού δίκην διδόναι. δεινὸν δέ μοι δοκεῖ εἶναι, εἰ τοῖς ποῦσι περὶ τὸ πλῆθος τὸ ὑμέτερον μὴ τὰ ἄριστα μηδὲν εἰπὼν ταὐτὰ πείσεται. καὶ ἐν μὲν ἑβδομή τα ἔτεσιν οὐδὲν ἐξήμαρτεν εἰς ὑμᾶς, ἐν ὀκτὼ δ' ῥαις· καὶ οἱ μὲν τὸν βίον ἅπαντα πονηροὶ ὄν χρηστοὶ ἐν τῷ λογιστηρίῳ γεγένηνται, πείσαντες κατηγόρους, οἳ δ' ἀεὶ ὑμῖν χρηστοὶ ἦσαν, οὗτοι νηροί. καίτοι ἐν ταῖς πρότερον κατηγορίαις τι ἄλλα κατηγόρησαν ψευδῆ τοῦ πατρὸς, καὶ συγ Φρύνιχον αὐτοῦ εἶναι ἔφησαν. καίτοι εἴ τις βο ται, ἐν τῷ λόγῳ τῷ ἐμῷ μαρτυρησάτω, ὡς ἀναγκ ὄντα Φρυνίχῳ. ἀλλὰ γὰρ ψευδῆ κατηγόρουν. μὴν οὐδ' ἐκ παιδείας φίλος ἦν αὐτῷ. ὁ μὲν γὰ ἀγρῷ πένης ὢν ἐποίμαινεν, ὁ δὲ πατὴρ ἐν τῷ ἄ ἐπαιδεύετο. καὶ ἐπειδὴ ἀνὴρ ἐγένετο, ὁ μὲν ἐγ γει, ὁ δ' ἐλθὼν εἰς τὸ ἄστυ ἐσνκοφάντει· ὥστε δὲν ὁμολογεῖν τῷ τρόπῳ τῷ ἀλλήλων. καὶ ὅτ' ἐξέ τῷ δημοσίῳ, οὐκ εἰσήνεγκεν αὐτῷ τὸ ἀργύριον. τοι ἐν τοῖς τοιούτοις μάλιστα δηλοῦσιν, οἳ ἂν φ ὦσιν. εἰ δ' ἦν δημότης, οὐ δίκαιος διὰ τοῦτο β πτεσθαί ἐστιν ὁ πατήρ· εἰ καὶ μὴ ὑμεῖς ἀδικε ὅτι ὑμῶν ἐστι πολίτης. πῶς δ' ἂν γένοιτο δημ κώτερος, ἢ ὅστις ὑμῶν ψηφισαμένων πεντακισχιλ παραδοῦναι τὰ πράγματα, καταλογεὺς ὢν ἐννακι

λίους κατέλεξεν; ἵνα μηδεὶς αὐτῷ διάφορος εἴη τῶν δημοτῶν· ἀλλ' ἵνα τὸν μὲν βουλόμενον γράφῃ· εἰ δέ τῳ μὴ οἷόν τ' εἴη, χαρίζοιτο. καίτοι οὐχ οἵ ἂν πλείστους πολίτας ποιῶσιν, οὗτοι καταλύουσι τὸν δῆμον, ἀλλ' οἵ ἂν ἐκ πλειόνων ἐλάττους. οὗτος δὲ οὔτε ὁμόσαι ἤθελεν, οὔτε καταλέγειν, ἀλλ' αὐτὸν ἠνάγκαζον, ἐπιβολὰς ἐπιβάλλοντες καὶ ζημιοῦντες· ἐπεὶ δὲ ἠναγκάσθη καὶ ὤμοσε τὸν ὅρκον, ὀκτὼ ἡμέρας εἰσελθὼν εἰς τὸ βουλευτήριον, ἐξέπλει εἰς Ἐρέτριαν, καὶ ἐδόκει ἐκεῖ τὴν ψυχὴν οὐ πονηρὸς εἶναι ἐν ταῖς ναυμαχίαις· καὶ τετρωμένος δεῦρ' ἦλθε, καὶ ἤδη μετεπεπτώκει τὰ πράγματα. καὶ οὗτος μὲν οὔτ' εἰπὼν γνώμην οὐδεμίαν, οὔτε πλέον ὀκτὼ ἡμερῶν ἐλθὼν εἰς τὸ βουλευτήριον, ὤφλε χρήματα τοσαῦτα· τῶν δ' εἰπόντων ὑμῖν τἀναντία, καὶ διὰ τέλους ἐν τῷ βουλευτηρίῳ ὄντων, πολλοὶ ἀποπεφεύγασι. καὶ οὐ φθονῶν τούτοις λέγω, ἀλλ' ἡμᾶς ἐλεῶν· οἱ μὲν γὰρ δοκοῦντες ἀδικεῖν, ἐξητημένοι εἰσὶν ὑπὸ τῶν ὑμῖν προθύμων ἐν τοῖς πράγμασι γενομένων· οἱ δ' ἠδικηκότες, ἐκπριάμενοι τοὺς κατηγόρους, οὐδὲν ἔδοξαν ἀδικεῖν. πῶς ἂν οὖν οὐκ ἂν δεινὰ πάσχοιμεν; καὶ κατηγοροῦσι μὲν τῶν τετρακοσίων, ὅτι ἦσαν κακοί· καίτοι ὑμεῖς αὐτοὶ πεισθέντες ὑπὸ τούτων παρέδοτε τοῖς πεντακισχιλίοις, καὶ οἷς αὐτοὶ τοσοῦτοι ὄντες ἐπείσθητε, ἕνα ἕκαστον τῶν τετρακοσίων οὐ χρῆν πεισθῆναι; ἀλλ' οὐχ οὗτοι ἀδικοῦσιν, ἀλλ' οἵ ὑμᾶς ἐξηπάτων καὶ κακῶς ἐποίουν. οὗτος δ' ἐν πολλοῖς δηλοῖ ὑμῖν, ὅτι, εἰπέρ τι νεωτερίζειν ἐβούλετο εἰς τὸ ὑμέτερον πλῆθος, οὐκ ἂν ποτε

ἐν ὀκτὼ ἡμέραις εἰσελθὼν εἰς τὸ βουλευτήριον, ᾤχετο ἐκπλέων. ἀλλ' εἴποι ἄν τις, ὅτι κερδαίνειν ἐπιθυμῶν ἐξέπλευσεν, ὥσπερ ἔνιοι ἥρπαζον καὶ ἔφερον. οὐδεὶς τοίνυν ἂν εἴποι τις ὅπως τῶν ὑμετέρων ἔχει· ἀλλὰ πάντα μᾶλλον κατηγοροῦσιν, ἢ εἰς τὴν ἀρχήν. καὶ οἱ κατήγοροι τότε μὲν οὐδαμῆ εὖνοι ὄντες ἐφαίνοντο τῷ δήμῳ, οὐδὲ ἐβοήθουν· νῦν δὲ ἡνίκα αὐτὸς ἑαυτῷ εὐνούστατός ἐστιν ὁ δῆμος, βοηθοῦσι, τῷ μὲν ὀνόματι, ὑμῖν, τῷ δὲ ἔργῳ, σφίσιν αὐτοῖς. καὶ μὴ θαυμάζετε, ὦ ἄνδρες δικασταί, ὅτι τοσαῦτα ὤφειλε χρήματα. ἐρήμην γὰρ αὐτὸν λαβόντες, αὐτοῦ τε καὶ ἡμῶν κατηγοροῦντες εἶλον. τῷ μὲν γὰρ, οὐδ' εἴ τις εἶχε μαρτυρίαν, εἶχε μαρτυρεῖν, διὰ τὸ δέος τὸ τῶν κατηγόρων· τοῖς δὲ καὶ τὰ ψευδῆ δεδοικότες ἐμαρτύρουν. ἢ δεινά γ' ἂν πάθοιμεν, ὦ ἄνδρες δικασταὶ, εἰ τοὺς μὲν οὐχ οἵους τε ὄντας ἐξάρνους εἶναι μὴ οὐ χρήματα ἔχειν ὑμῶν, τούτους μὲν ἀφῆτε ἀνδρὶ ἐξαιτουμένῳ· ἡμῖν δὲ αὐτοῖς τε προθύμοις γεγενημένοις περὶ τὸ πλῆθος τὸ ὑμέτερον, καὶ τοῦ πατρὸς οὐδὲν ὑμᾶς ἠδικηκότος, οὐ χαριεῖσθε. καὶ εἰ μὲν ξένος τις ἐλθὼν ὑμᾶς ἢ χρήματα ᾔτει, ἢ εὐεργέτης ἀναγραφῆναι ἠξίου, ἔδοτε ἂν αὐτῷ· ἡμῖν δὲ οὐ δώσετε ἡμᾶς αὐτοὺς ἐπιτίμους ὑμῖν γενέσθαι. εἰ δέ τινες κακύνοι ἐγένοντο εἰς τὰ ὑμέτερα πράγματα, ἢ γνώμην μὴ ἐπιτηδείαν εἶπον, οὐχ οἳ ἀπόντες τούτων αἴτιοι εἰσὶν· ἐπεὶ καὶ τοὺς παρόντας ὑμεῖς ἀπελύσατε. οὐδὲ γὰρ εἴ τις τῶν ἐνθάδε μὴ τὰ ἄριστα λέγων πείθει ὑμᾶς, οὐχ ὑμεῖς ἐστε αἴτιοι, ἀλλ' ὁ ἐξαπατῶν ὑμᾶς. ἐκεῖνοι δὲ, σφῶν

αὐτῶν προκαταγνόντες ἀδικεῖν, οἴχονται, ἵνα μὴ δοῖεν δίκην· καὶ εἴ τινες ἄλλοι ἀδικοῦσιν, ἧττον μὲν ἐκείνων, ἀδικοῦσι δὲ, τὸ δέος αὐτοὺς ποιεῖ τό, τε ὑμέτερον καὶ τὸ τῶν κατηγόρων, μὴ ἐπιδημεῖν, ἀλλὰ στρατεύεσθαι· ἵνα ἢ ὑμᾶς πρᾳοτέρους ποιῶσιν, ἢ τούτους πείθωσιν. οὗτος δὲ ὑμῖν δίκην δέδωκεν, οὐδὲν ὑμᾶς ἀδικῶν, εὐθὺς μετὰ τὰ πράγματα· ὅτε ὑμεῖς τε μάλιστα ἐμέμνησθε τῶν γενομένων, καὶ οὗτος ἐλεγχθήσεσθαι ἔμελλε, πιστεύων αὐτῷ μηδὲν ἡμαρτῆσθαι, ἀλλ' ἀγωνιεῖσθαι εὖ μετὰ τοῦ δικαίου. ὡς δ' ἦν δημοτικὸς, ἐγὼ ὑμῖν ἀποδείξω. πρῶτον μὲν γὰρ ὅσων οὐδεμιᾶς στρατείας ἀπελείφθη, ἀλλ' ἐστρατεύετο, ὡς συνειδότες ἂν εἴποιεν οἱ δημόται· καὶ ἑξὸν αὐτῷ τὴν οὐσίαν ἀφανῆ καταστήσαντι, μηδὲν ὑμᾶς ὠφελεῖν, εἵλετο μᾶλλον συνειδέναι ὑμᾶς· ἵν', εἰ καὶ βούλοιτο κακὸς εἶναι, μὴ ἐξῇ αὐτῷ, ἀλλ' εἰσφέροι τε τὰς εἰσφοράς, καὶ λειτουργοίη. καὶ ἡμᾶς παρεσκεύασεν, ὡς ἂν τῇ πόλει ὠφελιμώτατοι εἴημεν. καὶ ἐμὲ μὲν εἰς Σικελίαν ἐξέπεμψεν, ὑμῖν δ' οὐκ ἦν, ὥστ' εἰδέναι [τοὺς ἱππέας,] οἷος ἦν τὴν ψυχὴν, ἕως τὸ στρατόπεδον σῶον ἦν· ἐπειδὴ δὲ διεφθάρη καὶ ἀνεσώθην εἰς τὴν Κατάνην, ἐληΐζόμην ὁρμώμενος ἐντεῦθεν, καὶ τοὺς πολεμίους κακῶς ἐποίουν. ὥστε τῇ θεῷ τε τὰς δεκάτας ἐξαιρεθῆναι πλέον ἢ τριάκοντα μνᾶς, καὶ τοῖς στρατιώταις εἰς σωτηρίαν, ὅσοι ἐν τοῖς πολεμίοις ἦσαν. καὶ ἐπειδὴ Καταναῖοι ἠνάγκαζον ἱππεύειν, ἱππευον· καὶ οὐδενὸς οὐδ' ἐνταῦθα κινδύνου ἀπελειπόμην, ὥστ' εἰδέναι ἅπαντας, οἷος ἦν τὴν ψυχὴν, ἱππεύων τε

καὶ ὁπλιτεύων. ὧν ὑμῖν τοὺς μάρτυρας παρέ
ΜΑΡΤΤΡΕΣ. Ἀκηκόατε μὲν τῶν μαρτύρων,
δρες δικασταί· οἷος δ' εἰμὶ περὶ τὸ ὑμέτερο
θος, ἐγὼ ὑμῖν ἀποδείξω. ἀφικομένου γὰρ
Συρακουσίου ὅρκιον ἔχοντος, καὶ ἑτοίμου ὄντ
κοῦν, καὶ προσιόντος πρὸς ἕνα ἕκαστον τῶν ἐκ
των, ἀντεῖπον εὐθὺς αὐτῷ· καὶ ἐλθὼν ὡς Τ
διηγούμην ταῦτα, καὶ συλλογὴν ἐποίει, καὶ
οὐκ ὀλίγοι ἦσαν. ὧν δ' οὖν ἐγὼ εἶπον καλῶ μ
ρας. ΜΑΡΤΤΡΕΣ. Σκέψασθε δὴ καὶ τοῦ π
τὴν ἐπιστολήν, ἣν ἔδωκεν ἀποδοῦναι ἐμοί· π
τῷ ὑμετέρῳ πλήθει ἀγαθὰ ἦν, ἢ οὔ. τά τε γ
κεῖα ἀνεγέγραπτο, καὶ ἔτι, ὅτε καλῶς ἔχοι τὰ
κελία, ἥκειν. καίτοι ταῦτα ὑμῖν συνέφερε κα
ἐκεῖ· ὥστ' εἰ μὴ εὔνους ἦν τῇ πόλει καὶ ὑμῖν
ἄν ποτε τοιαῦτα ἐπέστελλεν. ἀλλὰ μὴν καὶ τ
δελφὸν τὸν νεώτατον, οἷος εἰς ὑμᾶς ἐστιν, ἐγὼ
δείξω. καταδρομῆς γὰρ γενομένης τῶν φυγάδα
οὐ μόνον ἐνθάδε, ὅ, τι οἱοί τ' ἦσαν, κακὸν
ζοντο, ἀλλὰ καὶ ἀπὸ τοῦ τείχους ἔφερον καὶ
ὑμᾶς, ἐξελάσας ἐκ τῶν ἄλλων ἱππέων ἕνα ἀπέκτ
ὧν ὑμῖν αὐτοὺς μάρτυρας τοὺς παραγενομένους
ἔξομαι. ΜΑΡΤΤΡΕΣ. Τὸν δὲ πρεσβύτατον
φὸν αὐτοὶ οἱ συστρατευόμενοι ἴσασιν, οἵτινες
δε ὄντες ἦτε ἐν Ἑλλησπόντῳ, ὥστε νομίζειν μη
ἧττον εἶναι ἀνθρώπων τὴν ψυχήν. καί μοι ἄν
δεῦρο. πῶς οὖν οὐ χρὴ χάριν παρ' ὑμῶν ἀπολ
νειν, εἰ τοιοῦτοι ἐσμέν; ἢ ὧν μὲν ὁ πατὴρ διαβ
ται εἰς ὑμᾶς οὐ δικαίως, τούτων δεῖ ἡμᾶς ἕνεκα

· δι' ὧν δὲ πρόθυμοι εἰς τὴν πόλιν γεγενήμε-
βεμίαν ὠφέλειαν γενέσθαι; ἀλλ' οὐ δίκαιον·
διὰ τὴν τούτου διαβολὴν δεῖ ἡμᾶς πάσχειν,
, ἐσμὲν διὰ τὴν ἡμετέραν προθυμίαν τοῦτό
αι καὶ ἡμᾶς. οὐ γὰρ ἂν ἡμεῖς χρημάτων γε
ἵνα λάβοιμεν, εὖ ὑμᾶς ἐποιοῦμεν· ἀλλ' ἵνα,
κίνδυνος εἴη ἡμῖν, ἐξαιτούμενοι, παρ' ὑμῶν
ίαν χάριν ἀπολάβοιμεν. χρὴ δὲ ὑμᾶς καὶ τῶν
ἕνεκα τοιούτους εἶναι, γιγνώσκοντας, ὅτι,
πρόθυμος εἰς ὑμᾶς ᾖ, οὐ μόνον ἡμᾶς ὠφε-
(ἡμῶν μὲν γὰρ καὶ πρὶν δεηθῆναι πεπείρα-
ἶοι ἐσμὲν εἰς ὑμᾶς) τοὺς δὲ ἄλλους προθυμο-
ποιήσετε, κατ' ἀξίαν χαριζόμενοι, ὅς ἄν τις
ὖ ποιῇ· καὶ μηδαμῶς τοῖς λέγουσι βεβαιώσητε
τῶν πάντων πονηρότατον. λέγεται γὰρ τοὺς
πεπονθότας μεμνῆσθαι μᾶλλον, ἢ τοὺς εὖ.
ἔτι θελήσει χρηστὸς εἶναι, εἰ ἡττηθήσονται
κῶς ὑμᾶς ποιούντων οἱ εὖ ποιοῦντες; ἔχει δ'
ὦ ἄνδρες δικασταὶ, οὕτω. περὶ ἡμῶν γὰρ
ῆφος ὑμῖν, καὶ οὐ περὶ χρημάτων. ἕως μὲν
ῆνη ἦν, ἡμῖν φανερὰ οὐσία, καὶ ἦν ὁ πατὴρ
ς γεωργός· ἐπειδὴ δὲ εἰσέβαλον οἱ πολέμιοι,
τούτων ἐστερήθημεν. ὥστε αὐτῶν τούτων
τρόθυμοι ἐσμὲν εἰς ὑμᾶς· εἰδότες, ὅτι χρήμα-
ἡμῖν οὐκ εἴη πόθεν ἐκτίσομεν, αὐτοὶ δὲ πρό-
ὄντες εἰς ὑμᾶς, ἀξιοῦμεν εὑρίσκεσθαι χάριν.
ὁρῶμέν γ' ὑμᾶς, ὦ ἄνδρες δικασταὶ, ἐάν τις
αὐτοῦ ἀναβιβασάμενος κλαίῃ καὶ ὀλοφύρη-
ούς τε παῖδας καὶ αὐτὸν εἰ ἀτιμωθήσονται

ἐλεοῦντας, καὶ ἀφιέντας τὰς τῶν πατέρων ἁμαρτίας διὰ τοὺς παῖδας, οὓς οὔπω ἴστε, εἴτε ἀγαθοὶ εἴτε κακοὶ ἡβήσαντες γενήσονται· ἡμᾶς δ' ἴστε, ὅτι πρόθυμοι γεγενήμεθα εἰς ὑμᾶς, καὶ τὸν πατέρα οὐδὲν ἡμαρτηκότα. ὥστε πολλῷ δικαιότεροι ἐστὲ, ὧν πεπείρασθε, τούτοις χαρίσασθαι, ἢ οὓς οὐκ ἴστε, ὁποῖοί τινες ἔσονται. πεπόνθαμεν δὲ τοὐναντίον τοῖς ἄλλοις ἀνθρώποις. οἱ μὲν γὰρ ἄλλοι τοὺς παῖδας παραστησάμενοι ἐξαιτοῦνται ὑμᾶς, ἡμεῖς δὲ τὸν πατέρα τουτονὶ καὶ ἡμᾶς, ἐξαιτούμεθα, μὴ ἡμᾶς ἀντὶ μὲν ἐπιτίμων ἀτίμους ποιήσητε, ἀντὶ δὲ πολιτῶν ἀπόλιδας· ἀλλὰ ἐλεήσατε καὶ τὸν πατέρα γέροντα ὄντα καὶ ἡμᾶς. εἰ δὲ ἡμᾶς ἀδίκως ἀπολεῖτε, πῶς ἢ οὗτος ἡμῖν ἡδέως συνέσται, ἢ ἡμεῖς ἀλλήλοις ἐν τῷ αὐτῷ ὄντες ὑμῶν τε ἀνάξιοι καὶ τῆς πόλεως; ἀλλ' ὑμῶν δεόμεθα τρεῖς ὄντες, ἐᾶσαι ἡμᾶς ἔτι προθυμοτέρους γενέσθαι. δεόμεθα οὖν ὑμῶν πρὸς τῶν ὑπαρχόντων ἀγαθῶν ἑκάστῳ, ὅτῳ μέν εἰσιν υἱεῖς, τούτων ἕνεκεν ἐλεῆσαι· ὅστις δ' ἡμῖν ἡλικιώτης τυγχάνει, ἢ τῷ πατρὶ, ἐλεήσαντες ἀποψηφίσασθε, καὶ μὴ ἡμᾶς βουλομένους εὖ ποιεῖν τὴν πόλιν ὑμεῖς κωλύσητε. δεινὰ δ' ἂν πάθοιμεν, εἰ ὑπὸ τῶν πολεμίων μὲν ἐσώθημεν, οὓς εἰκὸς ἦν διακωλύειν μὴ σώζεσθαι, παρ' ὑμῶν δὲ μηδὲν εὑρησόμεθα τοῦ σωθῆναι.

ΛΥΣΙΟΥ
ΑΠΟΛΟΓΙΑ ΔΩΡΟΔΟΚΙΑΣ
ΑΠΑΡΑΣΗΜΟΣ.

Περὶ μὲν τῶν κατηγορημένων, ὦ ἄνδρες δικασταὶ, ἱκανῶς ὑμῖν ἀποδέδεικται· ἀκοῦσαι δὲ καὶ περὶ τῶν ἄλλων ὑμᾶς ἀξιῶ, ἵν' ἐπίστησθε, περὶ ὅτου τινὸς ὄντος ἐμοῦ ψηφιεῖσθε. ἐγὼ γὰρ ἐδοκιμάσθην μὲν ἐπὶ Θεοπόμπου ἄρχοντος, καταστὰς δὲ χορηγὸς τραγῳδοῖς, ἀνήλωσα τριάκοντα μνᾶς· καὶ τρίτῳ μηνὶ Θαργηλίοις νικήσας ἀνδρικῷ χορῷ, δισχιλίας δραχμάς· ἐπὶ δὲ Γλαυκίππου ἄρχοντος, εἰς πυρρίχιστὰς Παναθηναίοις τοῖς μεγάλοις ὀκτακοσίας. ἔτι δ' ἀνδράσι χορηγῶν εἰς Διονύσια ἐπὶ τοῦ αὐτοῦ ἄρχοντος, ἐνίκησα, καὶ ἀνήλωσα σὺν τῇ τοῦ τρίποδος ἀναθέσει πεντακισχιλίας δραχμάς· καὶ ἐπὶ Διοκλέους Παναθηναίοις τοῖς μικροῖς κυκλικῷ χορῷ τριακοσίας. τὸν δὲ μεταξὺ χρόνον ἐτριηράρχουν ἑπτὰ ἔτη, καὶ ἓξ τάλαντα ἀνήλωσα. καὶ τοσαύτας δαπάνας δαπανώμενος, καὶ καθ' ἡμέραν ὑπὲρ ὑμῶν κινδυνεύων καὶ ἀποδημῶν, ὅμως εἰσφορὰν, τὴν μὲν, τριάκοντα μνᾶς, τὴν δὲ, τετρακισχιλίας δραχμὰς, εἰσενήνοχα. ἐπειδὴ δὲ κατεπέλευσα ἐπὶ

Ἀλεξίου ἄρχοντος, εὐθὺς ἐγυμνασιάρχουν εἰς Π
μήθεια, καὶ ἐνίκων, ἀναλώσας δώδεκα μνᾶς.
ὕστερον κατέστην χορηγὸς παιδικῷ χορῷ, καὶ ἀ
λωσα πλέον ἢ πεντεκαίδεκα μνᾶς. ἐπὶ δὲ Εὐκ
δου ἄρχοντος κωμῳδοῖς χορηγῶν Κηφισοδότῳ,
κων, καὶ ἀνήλωσα σὺν τῇ τῆς σκευῆς ἀναθέσει
καίδεκα μνᾶς, καὶ Παναθηναίοις τοῖς μικροῖς
ρήγουν πυῤῥιχισταῖς ἀγενείοις, καὶ ἀνήλωσα ἐ
μνᾶς. νενίκηκα δὲ τριήρει μὲν ἁμιλλώμενος
Σουνίῳ, ἀναλώσας πεντεκαίδεκα μνᾶς· χωρὶς
ἀρχιθεωρίας καὶ ἀῤῥηφορίας, καὶ ἄλλα τοιαῦ
εἰς ἃ ἐμοὶ δεδαπάνηται πλέον ἢ τριάκοντα μ
καὶ τούτων, ὧν κατέλεξα, εἰ ἐβουλόμην κατὰ
γεγραμμένα ἐν τῷ νόμῳ λειτουργεῖν, οὐδ' ἂν
τέταρτον μέρος ἀνήλωσα. τὸν δὲ χρόνον, ὃν ἐτ
ῥάρχουν, ἡ ναῦς ἄριστά μοι ἔπλει παντὸς τοῦ στ
τοπέδου. τεκμήριον δὲ τούτου ὑμῖν μέγιστον
πρῶτον μὲν γὰρ Ἀλκιβιάδης (ὃν ἐγὼ περὶ πολ
ἂν ἐποιησάμην μὴ συμπλεῖν μοι) οὔτε φίλος
οὔτε συγγενὴς, οὔτε φυλέτης, ἔπλει ἐπὶ τῆς ἐ
νεώς. καίτοι ὑμᾶς οἶμαι εἰδέναι, ὅτι στρατηγὸς
ἐξῆν ποιεῖν ὅ, τι ἐβούλετο, οὐκ ἄν ποτε ἀνέβη
ἄλλην ναῦν, εἰ μὴ τὴν ἄριστα πλέουσαν, μᾶλ
αὐτὸς κινδυνεύσειν. ἐπειδὴ δὲ ἐκείνους μὲν ὑμ
ἐπαύσατε τῆς ἀρχῆς, τοὺς δὲ μετὰ Θρασύλλου
κα εἵλεσθε, οὗτοι πάντες ἐβούλοντο ἐπὶ τῆς ἐ
νεὼς πλεῖν. ἀνέβη μέντοι, πολλῶν λοιδοριῶν
τοῖς γενομένων, Ἀρχέστρατος ὁ Φρεάῤῥιος. ἀ
θανόντος δὲ τούτου ἐν Μιτυλήνῃ, Ἐρασινεί

μετ' ἐμοῦ συνέπλει. καίτοι οὕτω παρεσκευασμένην τριήρη πόσα οἴεσθε ἀνηλωκέναι χρήματα; ἢ πόσα τοὺς πολεμίους εἰργάσθαι κακά; ἢ πόσα τὴν πόλιν εὖ πεποιηκέναι; τεκμήριον δὲ τούτου μέγιστον· ὅτε γὰρ ἐν τῇ τελευταίᾳ ναυμαχίᾳ αἱ νῆες διεφθάρησαν, οὐδενός μοι συμπλέοντος στρατηγοῦ (ἵνα καὶ τούτου μνησθῶ, ἐπειδὴ καὶ τοῖς τριηράρχοις ὠργίσθητε διὰ τὴν γενομένην συμφοράν,) ἐγὼ τήν τε ἐμαυτοῦ ναῦν ἐκόμισα, καὶ τὴν Ναυσιμάχου τοῦ Φαληρέως ἔσωσα. καὶ ταῦτα οὐκ ἀπὸ τύχης ἐγίγνετο, ἀλλ' ἀπὸ παρασκευῆς τῆς ἐμῆς. εἶχον γὰρ, χρήμασι πείσας, κυβερνήτην Φαντίαν ἅπαντα τὸν χρόνον, ὃς ἐδόκει τῶν Ἑλλήνων ἄριστος εἶναι. παρεσκευασάμην δὲ καὶ τὸ πλήρωμα πρὸς ἐκεῖνον, καὶ τὴν ἄλλην ὑπηρεσίαν ἀκόλουθον. καὶ ταῦθ' ὅτι ἀληθῆ λέγω, πάντες ἐπίστασθε, ὅσοι ἐτυγχάνετε ὄντες ἐκεῖ τῶν στρατιωτῶν. κάλεσον δὲ καὶ Ἀυσίμαχον. ΜΑΡΤΤΡΙΑ. Αἱ μὲν τοίνυν σωθεῖσαι τῶν νεῶν δώδεκα ἦσαν· ἐγὼ δ' ὑμῖν δύο ἐκόμισα, τὴν ἐμαυτοῦ καὶ τὴν Ναυσιμάχου τριήρη. καὶ οὕτω πολλοὺς κινδύνους ὑπὲρ ὑμῶν κεκινδυνευκὼς, καὶ τοσαῦτα ἀγαθὰ εἰργασμένος τὴν πόλιν, νῦν δέομαι οὐ δωρεὰν, ὥσπερ ἕτεροι, ἀντὶ τούτων παρ' ὑμῶν λαβεῖν, ἀλλὰ μὴ στερηθῆναι τῶν ἐμαυτοῦ· ἡγούμενος καὶ ὑμῖν αἰσχρὸν εἶναι, παρά τε ἑκόντος ἐμοῦ καὶ παρ' ἄκοντος λαμβάνειν. καὶ οὐ τοσοῦτόν μοι μέλει, εἴ με δεῖ τὰ ὄντα ἀπολέσαι· ἀλλ' οὐκ ἂν δεξαίμην ὑβρισθῆναι, οὐδὲ παρασιτῆναι τοῖς διαδυομένοις τὰς λειτουργίας, ἐμοὶ μὲν

ἀχάριστα εἶναι τὰ εἰς ὑμᾶς ἀνηλωμένα, ἐκείνους δὲ δοκεῖν ὀρθῶς βεβουλεῦσθαι, ὅτι ὑμῖν οὐδὲν προεῖνται τῶν σφετέρων αὐτῶν. ἂν οὖν ἐμοὶ πεισθῆτε, τά τε δίκαια ψηφιεῖσθε, καὶ τὰ λυσιτελοῦντα ὑμῖν αὐτοῖς αἱρήσεσθε. ὁρᾶτε γάρ, ὦ ἄνδρες δικασταί, τὰ προσιόντα τῇ πόλει ὡς ὀλίγα ἐστὶ, καὶ ταῦτα ὡς ὑπὸ τῶν ἐφεστηκότων ἁρπάζεται. ὥστ' ἄξιον ταύτην ἡγεῖσθαι πρόσοδον βεβαιοτάτην τῇ πόλει, τὰς οὐσίας τῶν θελόντων λειτουργεῖν. ἂν οὖν εὖ βουλεύσησθε, οὐδὲν ἧττον ἐπιμελήσεσθε τῶν ἡμετέρων χρημάτων, ἢ τῶν ἰδίων τῶν ὑμετέρων αὐτῶν· εἰδότες, ὅτι ἔξετε πᾶσι χρῆσθαι τοῖς ἡμετέροις, ὥσπερ καὶ πρότερον. οἶμαι δὲ πάντας ὑμᾶς ἐπίστασθαι, ὅτι τῶν ἐμῶν ἐγὼ πολὺ βελτίων ὑμῖν ἔσομαι ταμίας τῶν τὰ τῆς πόλεως ὑμῖν ταμιευόντων. ἐὰν δέ με πένητα ποιήσητε, καὶ ὑμᾶς αὐτοὺς ἀδικήσετε· ἕτεροι δὲ καὶ ταῦτα διανεμοῦνται, ὥσπερ καὶ τἄλλα. ἄξιον δέ ἐστιν ἐνθυμηθῆναι, ὅτι πολὺ μᾶλλον ὑμῖν προσήκει τῶν ὑμετέρων ἐμοὶ διδόναι, ἢ τῶν ἐμῶν ἐμοὶ ἀμφισβητῆσαι· καὶ πένητα γενόμενον ἐλεῆσαι μᾶλλον, ἢ πλουτοῦντι φθονῆσαι· καὶ τοῖς θεοῖς εὔχεσθαι τοὺς ἄλλους εἶναι τοιούτους πολίτας, ἵνα τῶν μὲν ἑτέρων μὴ ἐπιθυμήσωσι, τὰ δὲ σφέτερα αὐτῶν εἰς ὑμᾶς ἀναλίσκωσιν. ἡγοῦμαι δ', ὦ ἄνδρες δικασταὶ, (καὶ μηδεὶς ὑμῶν ἄχθεσθῇ) πολὺ ἂν δικαιότερον ὑμᾶς ὑπὸ τῶν ζητητῶν ἀπογραφῆναι τὰ ἐμὰ ἔχειν, ἢ ἐμὲ νυνὶ κινδυνεύειν ὡς τοῦ δημοσίου χρήματα ἔχοντα. τοιοῦτον γάρ ἐμαυτὸν τῇ πόλει παρέχω, ὥστ' ἰδίᾳ μὲν

τῶν ἐμῶν φείδομαι, δημοσίᾳ δὲ λειτουργῶν ἥδομαι· καὶ οὐκ ἐπὶ τοῖς περιοῦσι μέγα φρονῶ, ἀλλ' ἐπὶ τοῖς εἰς ὑμᾶς ἀνηλωμένοις· ἡγούμενος τούτων μὲν αὐτὸς αἴτιος εἶναι, τὴν δὲ οὐσίαν ἑτέρους μοι καταλιπεῖν· καὶ διὰ ταύτην μὲν ὑπὸ τῶν ἐχθρῶν ἀδίκως συκοφαντεῖσθαι, δι' ἐκεῖνα δὲ ὑφ' ὑμῶν δικαίως σώζεσθαι. ὥστ' οὐκ ἂν εἰκότως ἕτεροί με ἐξητήσαντο παρ' ὑμῶν, ἀλλὰ καὶ εἴ τις τῶν ἐμῶν φίλων τοιοῦτον ἀγῶνα ἠγωνίζετο, ὑμᾶς ἂν ἠξίουν ἐμοὶ δοῦναι τὴν χάριν· καὶ εἰ παρ' ἄλλοις ἐκινδύνευον, ὑμᾶς εἶναι τοὺς δεομένους ὑπὲρ ἐμοῦ. τοῦτό γε εἰπεῖν ἔχοι τις, ὡς πολλὰς ἀρχὰς ἄρξας, ἐκ τῶν ὑμετέρων ὠφέλημαι· ἢ ὡς αἰσχρὰς δίκας δεδίκασμαι· ἢ ὡς αἰσχροῦ τινος αἴτιός εἰμι· ἢ ὡς τὰς τῆς πόλεως συμφορὰς ἀσμένως εἶδον· ὑπὲρ ἁπάντων δὲ καὶ ἰδίων καὶ τῶν δημοσίων οὕτως ἡγοῦμαί μοι πεπολιτεῦσθαι, καὶ ὑμᾶς εἰδέναι, ὥστε οὐδὲν δεῖν με ἀπολογήσασθαι περὶ αὐτῶν. δέομαι οὖν ὑμῶν, ὦ ἄνδρες δικασταί, τὴν αὐτὴν νῦν περὶ ἐμοῦ γνώμην ἔχειν, ἥνπερ καὶ ἐν τῷ τέως χρόνῳ· καὶ μὴ μόνον τῶν δημοσίων λειτουργιῶν μεμνῆσθαι, ἀλλὰ καὶ τῶν ἰδίων ἐπιτηδευμάτων ἐνθυμεῖσθαι· ἡγουμένους ταύτην εἶναι τὴν λειτουργίαν ἐπιπονωτάτην διὰ τέλους, τὸν πάντα χρόνον κόσμιον εἶναι καὶ σώφρονα· καὶ μήθ' ὑφ' ἡδονῆς ἡττηθῆναι, μήθ' ὑπὸ κέρδους ἑαρθῆναι· ἀλλὰ τοιοῦτον παρασχεῖν ἑαυτὸν, ὥστε μηδένα τῶν πολιτῶν μήτε μέμψασθαι, μήτε δίκην τολμῆσαι προκαλέσασθαι. οὕτω γὰρ ἄξιον, ὦ ἄνδρες δικασταὶ, πειθομένους κατηγόροις τοιού-

τοις, ἐμοῦ καταψηφίσασθαι, οἳ περὶ ἀσεβείας μὲν ἀγωνιζόμενοι, τηλικοῦτοι γεγόνασιν, οὐκ ἂν δυνάμενοι δ' ὑπὲρ τῶν σφετέρων ἁμαρτημάτων ἀπολογήσασθαι, ἑτέρων κατηγορεῖν τολμῶσι. καὶ ὧν Κυνησίας οὗτω διακείμενος πλείους στρατείας ἐστράτευται, οὗτοι περὶ τῶν τῆς πόλεως ἀγανακτοῦσι. καὶ ἐξ ὧν μὲν ἡ πόλις εὐδαίμων ἔσται, οὐ συμβάλλονται, πάντα δὲ ποιοῦσιν, ὅπως ὑμεῖς τοῖς εὖ πεποιηκόσιν ὀργισθήσεσθε. οὗτοι μὲν οὖν, ὦ ἄνδρες δικασταὶ, ἐν τῷ δήμῳ κατείποιεν ὑμῖν τὰ σφέτερα αὐτῶν ἐπιτηδεύματα. οὐ γὰρ ἂν ἔχοιμι ὅ, τι τούτου μεῖζον αὐτοῖς εὐξαίμην κακόν. ἐγὼ δ' ὑμῶν δέομαι, καὶ ἱκετεύω καὶ ἀντιβολῶ, μὴ καταγνῶναι δωροδοκίαν ἐμοῦ· μηδ' ἡγήσασθαι τοσαῦτα χρήματα εἶναι, ἃ ἐγὼ βουληθείην ἄν τι κακὸν τῇ πόλει γενέσθαι. μαινοίμην γὰρ, ὦ ἄνδρες δικασταὶ, εἰ τὴν μὲν πατρῴαν οὐσίαν φιλοτιμούμενος εἰς ὑμᾶς ἀναλίσκοιμι, ἐπὶ δὲ τῷ τῆς πόλεως κακῷ παρὰ τῶν ἄλλων δωροδοκοίην. ἐγὼ μὲν οὖν, ὦ ἄνδρες δικασταὶ, οὐκ οἶδ', οὕστινας ἡ ὑμᾶς ἐβουλήθην περὶ ἐμοῦ δικαστὰς γενέσθαι, εἴπερ χρὴ τοὺς εὖ πεπονθότας περὶ τῶν εὖ πεποιηκότων εὔχεσθαι τὴν ψῆφον φέρειν. καὶ μὲν δὴ, ὦ ἄνδρες δικασταὶ, (ἐπιθυμῶ γὰρ καὶ τούτων μνησθῆναι) οὐδεπώποτε, λειτουργεῖν ὑπὲρ ὑμῶν δέον, εἰ τοσούτῳ πενεστέρους τοὺς παῖδας καταλείψω, ἀλλὰ πολὺ μᾶλλον, εἰ μὴ προθύμως ποιήσω τὰ προσταχθέντα· οὐδ', εἴ ποτε κινδυνεύσειν ἐν ταῖς ναυμαχίαις μέλλοιμι, οὐδεπώποτ' ἠλέησα, οὐδ' ἐδάκρυσα, οὐδ' ἐμνή-

σθην γυναικὸς, οὐδὲ παίδων τῶν ἐμαυτοῦ, οὐδ' ἡγούμην δεινὸν εἶναι, εἰ τελευτήσας ὑπὲρ τῆς πατρίδος τὸν βίον, ὀρφανοὺς καὶ πατρὸς ἀπεστερημένους αὐτοὺς καταλείψω, ἀλλὰ πολὺ μᾶλλον, εἰ σωθεὶς αἰσχρῶς ὀνείδη καὶ ἐμαυτῷ καὶ ἐκείνοις περιάψω. ἀνθ' ὧν ὑμᾶς ἀπαιτῶ νῦν τὴν χάριν, καὶ ἀξιῶ, ἐν τοῖς κινδύνοις ἐμοῦ τοιαύτην περὶ ὑμῶν γνώμην ἔχοντος, ὑμᾶς νυνὶ ἐν τῷ θαρραλέῳ ὄντας, ἐμὲ καὶ τοὺς παῖδας τούτους περὶ πολλοῦ ποιήσασθαι· ἡγουμένους ἡμῖν μὲν δεινὸν, ὑμῖν δὲ αἰσχρὸν εἶναι, εἰ ἀναγκασθησόμεθα ἐπὶ τοιαύταις αἰτίαις ἄτιμοι γενέσθαι, ἢ στερηθέντες τῶν ὑπαρχόντων, πένητες εἶναι, καὶ πολλῶν ἐνδεεῖς ὄντες περιιέναι· ἀνάξια μὲν ὑμῶν αὐτῶν πεπονθότες, ἀνάξια δὲ τῶν εἰς ὑμᾶς ὑπηργμένων. μηδαμῶς, ὦ ἄνδρες δικασταί· ἀλλ' ἀποψηφισάμενοι, τοιούτοις ἡμῖν χρῆσθε πολίταις, οἵοισπερ ἐν τῷ πρόσθεν χρόνῳ.

ΛΥΣΙΟΥ

ΚΑΤΑ ΤΩΝ ΣΙΤΟΠΩΛΩ

Πολλοί μοι προσεληλύθασιν, ὦ ἄνδρες δικα
θαυμάζοντες, ὅτι ἐγὼ τῶν σιτοπωλῶν ἐν τῇ β
κατηγόρουν, καὶ λέγοντες, ὅτι ὑμεῖς, εἰ ὡς μάλ
αὐτοὺς ἀδικεῖν ἡγεῖσθε, οὐδὲν ἧττον καὶ τοὺς
τούτων ποιουμένους λόγους συκοφαντεῖν νομί
ὅθεν οὖν ἠνάγκασμαι κατηγορεῖν αὐτῶν, περὶ
των πρῶτον εἰπεῖν βούλομαι. ἐπειδὴ γὰρ οἱ
τάνειις ἐπέδοσαν εἰς τὴν βουλὴν περὶ αὐτῶν, οἱ
ὠργίσθησαν αὐτοῖς, ὥστε ἔλεγον τινὲς τῶν ῥητό
ὡς ἀκρίτους αὐτοὺς χρὴ τοῖς ἕνδεκα παραδο
θανάτῳ ζημιῶσαι. ἡγούμενος δὲ ἐγὼ δεινὸν ε
τοιαῦτα ἐθίζεσθαι ποιεῖν τὴν βουλὴν, ἀναστὰ
τον, ὅτι μοι δοκοίη κρίνειν τοὺς σιτοπώλας
τὸν νόμον· νομίζων, εἰ μέν εἰσιν ἄξια θανάτου
γασμένοι, ὑμᾶς οὐδὲν ἧττον ἡμῶν γνώσεσθαι τα
καια· εἰ δὲ μηδὲν ἀδικοῦσιν, οὐ δεῖν αὐτοὺς ἀ
τους ἀπολωλέναι. πεισθείσης δὲ τῆς βουλῆς τα
διαβάλλειν ἐπεχείρουν με λέγοντες, ὡς ἐγὼ σωτη
εἵνεκα τῆς τῶν σιτοπωλῶν τοὺς λόγους τούτοι
ποιούμην. πρὸς μὲν οὖν τὴν βουλὴν, ὅτ' ἦν αἰ

ἡ κρίσις, ἔργῳ ἀπελογησάμην. τῶν γὰρ ἄλλων ἡσυχίαν ἀγόντων, ἀναστὰς αὐτῶν κατηγόρουν, καὶ πᾶσι φανερὸν ἐποίησα, ὅτι οὐχ ὑπὲρ τούτων ἔλεγον, ἀλλὰ τοῖς νόμοις τοῖς κειμένοις ἐβοήθουν. ἠρξάμην μὲν οὖν τούτων ἕνεκα· δεδιὼς δὲ τὰς αἰτίας, αἰσχρὸν ἡγοῦμαι πρότερον παύσασθαι, πρὶν ἂν ὑμεῖς περὶ αὐτῶν ὅ, τι ἂν βούλησθε ψηφίσησθε. καὶ πρῶτον μὲν ἀνάβηθι, καὶ εἰπὲ σὺ ἐμοὶ, μέτοικος εἶ; Ναί. Μετοικεῖς δὲ πότερον ὡς πεισύμενος τοῖς νόμοις τοῖς τῆς πόλεως, ἢ ὡς ποιήσων ὅ, τι ἂν βούλῃ; Ὡς πεισόμενος. Ἄλλο τι οὖν οὐκ ἀξιοῖς ἢ ἀποθανεῖν, εἴ τι πεποίηκας παρὰ τοὺς νόμους, ἐφ᾽ οἷς θάνατος ἡ ζημία; Ἔγωγε. Ἀπόκριναι δή μοι, εἰ ὁμολογεῖς πλείω σῖτον συμπρίασθαι πεντήκοντα φορμῶν, ὧν ὁ νόμος ἐξεῖναι κελεύει. Ἐγὼ τῶν ἀρχόντων κελευόντων συνεπριάμην. Ἂν μὲν τοίνυν ἀποδείξῃ, ὦ ἄνδρες δικασταὶ, ὡς ἐστι νόμος, ὃς κελεύει τοὺς σιτοπώλας συνωνεῖσθαι τὸν σῖτον, ἂν οἱ ἄρχοντες κελεύωσιν, ἀποψηφίσασθε· εἰ δὲ μὴ, δίκαιον ὑμᾶς καταψηφίσασθαι. ἡμεῖς γὰρ ὑμῖν παρεσχόμεθα τὸν νόμον, ὃς ἀπαγορεύει μηδένα τῶν ἐν τῇ πόλει πλείω σῖτον πεντήκοντα φορμῶν συνωνεῖσθαι. χρῆν μὲν τοίνυν, ὦ ἄνδρες δικασταὶ, ἱκανὴν εἶναι ταύτην τὴν κατηγορίαν, ἐπειδὴ οὗτος μὲν ὁμολογεῖ συμπρίασθαι, ὁ δὲ νόμος ἀπαγορεύων φαίνεται. ὑμεῖς δὲ κατὰ τοὺς νόμους ὀμωμόκατε ψηφιεῖσθαι. ὅμως δ᾽ ἵνα πεισθῆτε, ὅτι καὶ κατὰ τῶν ἀρχόντων ψεύδονται, ἀνάγκη καὶ μακρότερον εἰπεῖν περὶ αὐτῶν. ἐπειδὴ γὰρ οὗτοι τὴν αἰτίαν εἰς ἐκείνους ἀνέφερον, παρακαλε-

σαντες τοὺς ἄρχοντας ἠρωτῶμεν. καὶ οἱ μὲν δύο οὐδὲν ἔφασαν εἰδέναι τοῦ πράγματος· Ἄνυτος δ' ἔλεγεν, ὡς τοῦ προτέρου χειμῶνος, ἐπειδὴ τίμιος ἦν ὁ σῖτος, τούτων ὑπερβαλλόντων ἀλλήλους, καὶ πρὸς σφᾶς αὐτοὺς μαχομένων, συμβουλεύσειεν αὐτοῖς παύσασθαι φιλονεικοῦσιν· ἡγούμενος συμφέρειν ὑμῖν τοῖς παρὰ τούτων ὠνουμένοις, ὡς ἀξιώτατον τούτους πρίασθαι. δεῖν γὰρ αὐτοὺς ὀβολῷ μόνον πωλεῖν τιμιώτερον· ὡς τοίνυν οὐ συμπριαμένους καταθέσθαι ἐκέλευεν αὐτοὺς, ἀλλὰ μὴ ἀλλήλοις ἀντωνεῖσθαι συνεβούλευεν, αὐτὸν ὑμῖν Ἄνυτον μάρτυρα παρέξομαι, καὶ ὡς οὗτος μὲν ἐπὶ τῆς προτέρας βουλῆς τούτους εἶπε τοὺς λόγους, οὗτοι δ' ἐπὶ τῆς συνωνούμενοι φαίνονται. ΜΑΡΤΥΣ. Ὅτι μὲν τοίνυν οὐχ ὑπὸ τῶν ἀρχόντων κελευσθέντες συνεπρίαντο τὸν σῖτον, ἀκηκόατε. ἡγοῦμαι δ', ἂν ὡς μάλιστα περὶ τούτων ἀληθῆ λέγωσιν, οὐχ ὑπὲρ αὑτῶν αὐτοὺς ἀπολογήσεσθαι, ἀλλὰ τούτων κατηγορήσειν. περὶ γὰρ ὧν εἰσι νόμοι διαῤῥήδην γεγραμμένοι, πῶς οὐ χρὴ διδύναι δίκην καὶ τοὺς μὴ πειθομένους, καὶ τοὺς κελεύοντας τούτοις τἀναντία πράττειν; ἀλλὰ γὰρ, ὦ ἄνδρες δικασταὶ, οἶομαι αὐτοὺς ἐπὶ μὲν τοῦτον τὸν λόγον οὐκ ἐλεύσεσθαι· ἴσως δ' ἐροῦσιν, ὥσπερ καὶ ἐν τῇ βουλῇ, ὡς ἐπ' εὐνοίᾳ τῆς πόλεως συνεωνοῦντο τὸν σῖτον, ἵν' ὡς ἀξιώτατον ἡμῖν πωλοῖεν. μέγιστον δ' ὑμῖν ἐρῶ καὶ περιφανέστατον τεκμήριον, ὅτι ψεύδονται. ἐχρῆν γὰρ αὐτοὺς, εἴπερ ὑμῶν οὕνεκα ἔπραττον ταῦτα, φαίνεσθαι τῆς αὐτῆς τιμῆς πολλὰς ἡμέρας πωλοῦντας, ἕως ὁ συνεωνημένος αὖ-

τοὺς ἐπάλιπε· νυνὶ δ' ἐνίοτε τῆς αὐτῆς ἡμέρας ἐπώλουν δραχμῆ τιμιώτερον, ὥσπερ κατὰ μέδιμνον συνωνούμενοι· καὶ τούτων ὑμᾶς μάρτυρας παρέχομαι. δεινὸν δέ μοι δοκεῖ εἶναι, εἰ, ὅταν μὲν εἰσφορὰν εἰσενεγκεῖν δέῃ, ἣν πάντες εἴσεσθαι μέλλουσιν, οὐκ ἐθέλουσιν, ἀλλὰ πενίαν προφασίζονται· ἐφ' οἷς δὲ θάνατός ἐστιν ἡ ζημία, καὶ λαθεῖν αὐτοῖς συνέφερε, ταῦτα ἐπ' εὐνοίᾳ φασὶ τῇ ὑμετέρᾳ παρανομῆσαι. καίτοι πάντες ἐπίστασθε, ὅτι τούτοις ἥκιστα προσήκει τοιούτους ποιεῖσθαι λόγους. τἀναντία γὰρ αὐτοῖς καὶ τοῖς ἄλλοις συμφέρει. τότε γὰρ πλεῖστα κερδαίνουσιν, ὅταν κακοῦ τινος ἀπαγγελθέντος τῇ πόλει, τίμιον τὸν σῖτον πωλῶσιν. οὕτω δ' ἅσμενοι τὰς συμφορὰς τὰς ὑμετέρας ὁρῶσιν, ὥστε τὰς μὲν πρότεροι τῶν ἄλλων πυνθάνονται, τὰς δ' αὐτοὶ λογοποιοῦσιν· ἢ τὰς ναῦς διεφθάρθαι τὰς ἐν τῷ Πόντῳ, ἢ ὑπὸ Λακεδαιμονίων ἐκπλεύσας συνειλῆφθαι, ἢ τὰ ἐμπόρια κεκλεῖσθαι, ἢ τὰς σπονδὰς μέλλειν ἀποῤῥηθήσεσθαι. καὶ εἰς τοῦτ' ἔχθρας ἐληλύθασιν, ὥστ' ἐν τούτοις τοῖς καιροῖς ἐπιβουλεύουσιν ἡμῖν, ἐν οἷσπερ οὐδ' οἱ πολέμιοι. ὅταν γὰρ μάλιστα σίτου τυγχάνητε δεόμενοι, ἀναρπάζουσιν οὗτοι, καὶ οὐκ ἐθέλουσι πωλεῖν· ἵνα μὴ περὶ τῆς τιμῆς διαφερώμεθα, ἀλλ' ἀγαπῶμεν, ἂν ὑποσουτινοσοῦν πριάμενοι παῤ αὐτῶν ἀπέλθωμεν. ὥστ' ἐνίοτε εἰρήνης οὔσης, ὑπὸ τούτων πολιορκούμεθα. οὕτω δὲ πάλαι περὶ τῆς τούτων πανουργίας καὶ κακονοίας ἡ πόλις ἔγνωκεν, ὥστ' ἐπὶ μὲν τοῖς ἄλλοις ὠνίοις ἅπασι τοὺς ἀγορανόμους φύλακας κατεστήσατε, ἐπὶ δὲ ταύτῃ

μόνῃ τῇ τέχνῃ χωρὶς σιτοφυλάκας ἀποκληρο
πολλάκις ἤδη παρ' ἐκείνων πολιτῶν ὄντων δ
μεγίστην ἐλάβετε, ὅτι οὐχ οἱοί τ' ἦσαν τῆ
πονηρίας ἐπικρατῆσαι. καίτοι τί χρὴ αὐτ
ἀδικοῦντας ὑφ' ὑμῶν πάσχειν, ὁπότε καὶ
δυναμένους φυλάττειν ἀποκτείνετε; ἐνθυμέ
χρὴ, ὅτι ἀδύνατόν ἐστιν ὑμῖν ἀποψηφίσαο
γὰρ ἀπογνώσεσθε ὁμολογούντων αὐτῶν ἐπὶ
σέρους συνίστασθαι, δόξεθ' ὑμεῖς ἐπιβουλε
εἰσπλέουσιν. εἰ μὲν γὰρ ἄλλην τινὰ ἀπολογι
οὗντο, οὐδεὶς ἂν εἶχε τοῖς ἀποψηφισαμέν
ωξῦν, (ἐφ' ὑμῖν γάρ ἐστιν, ὁποτέροις βούλ
στεύειν) νῦν δὲ πῶς οὐ δεινὰ ἂν δόξαιτε πι
τοὺς ὁμολογοῦντας παρανομεῖν ἀζημίους
ἀναμνήσθητε δὲ, ὦ ἄνδρες δικασταὶ, ὅτι
ἤδη ἐχόντων ταύτην τὴν αἰτίαν λαμβάνειν,
τυρας παρεχομένων, θάνατον κατέγνωτε,
ρους ἡγησάμενοι τοὺς τῶν κατηγόρων λόγο
τοι πῶς ἂν οὐ θαυμαστὸν εἴη, εἰ, περὶ τῶ
ἁμαρτημάτων δικάζοντες, μᾶλλον ἐπεθυμεῖ
τῶν ἀρνουμένων δίκην λαμβάνειν; καὶ μὲν
δρες δικασταὶ, πᾶσιν ἡγοῦμαι φανερὸν εἶνα
περὶ τῶν τοιούτων ἀγῶνες καινότατοι τυγχ
ὄντες τοῖς ἐν τῇ πόλει. ὥστε πεύσονται, ἥντι
μην περὶ αὐτῶν ἔχετε· ἡγούμενοι, ἂν μὲν
αὐτῶν καταγνῶτε, κοσμιωτέρους ἔσεσθαι
πους· ἂν δ' ἀζημίους ἀφῆτε, πολλὴν ἄδεια
ἐψηφισμένοι ἔσεσθε ποιεῖν ὅ, τι ἂν βούλων
δὲ, ὦ ἄνδρες δικασταὶ, μὴ μόνον τῶν παρε

των οὕνεκα αὐτοὺς κολάζειν, ἀλλὰ καὶ παραδείγματος οὕνεκα τῶν μελλόντων ἔσεσθαι. οὕτω γὰρ ἔσονται μόγις ἀνεκτοί. ἐνθυμεῖσθε δ', ὅτι ἐκ ταύτης τῆς τέχνης πλεῖστοι περὶ τοῦ σώματος εἰσὶν ἠγωνισμένοι· καὶ οὕτω μεγάλα ἐξ αὐτῆς ὠφελοῦνται, ὥστε μᾶλλον αἱροῦνται καθ' ἑκάστην ἡμέραν περὶ τῆς ψυχῆς κινδυνεύειν, ἢ παύσασθαι παρ' ὑμῶν ἀδίκως κερδαίνοντες. καὶ μὲν δὴ, οὐδ' ἂν ἀντιβολῶσιν ὑμᾶς καὶ ἱκετεύωσι, δικαίως ἂν αὐτοὺς ἐλεήσαιτε· ἀλλὰ πολὺ μᾶλλον τῶν τε πολιτῶν, οἳ διὰ τὴν τούτων πονηρίαν ἀπόθνησκον, καὶ τοὺς ἐμπόρους, ἐφ' οἷς οὗτοι συνέστησαν· οἷς ὑμεῖς χαριεῖσθε, καὶ προθυμοτέρους ποιήσετε, δίκην παρ' αὐτῶν λαμβάνοντες. εἰ δὲ μὴ, τὴν αὐτὴν οἴεσθε γνώμην ἕξειν, ἐπειδὰν πύθωνται, ὅτι τῶν καπήλων, οἳ τοῖς ἐκπλέουσιν ὡμολόγησαν ἐπιβουλεύειν, ἀπεψηφίσασθε. οὐκ οἶδ', ὅτι δεῖ πλείω λέγειν. περὶ μὲν γὰρ τῶν ἄλλων τῶν ἀδικούντων, ὅτε δικάζονται, δεῖ παρὰ τῶν κατηγόρων πυθέσθαι· τὴν δὲ τούτων πονηρίαν ἅπαντες ἐπίστασθε. ἂν οὖν τούτων καταψηφίσησθε, τά τε δίκαια ποιήσετε, καὶ ἀξιώτερον τὸν σῖτον ὠνήσεσθε· εἰ δὲ μὴ, τιμιώτερον.

ΛΥΣΙΟΥ

ΚΑΤΑ ΠΑΓΚΛΕΩΝΟΣ, ΟΤΙ ΟΥΚ ΗΝ ΠΛΑΤΑΙΕΥΣ.

Πολλὰ μὲν λέγειν, ὦ ἄνδρες δικασταὶ, περὶ τουτουὶ τοῦ πράγματος οὔτ' ἂν δυναίμην, οὔτε μοι δοκεῖ δεῖν· ὡς δὲ ὀρθῶς τὴν δίκην ἔλαχον τούτῳ Παγκλέωνι, οὐκ ὄντι Πλαταιεῖ, τοῦτο ὑμῖν πειράσομαι ἀποδεῖξαι. ὡς γὰρ ἀδικῶν με πολὺν χρόνον οὐκ ἐπαύετο, ἐλθὼν ἐπὶ τὸ γναφεῖον, ἐν ᾧ εἰργάζετο, προσεκαλεσάμην αὐτὸν πρὸς τὸν πολέμαρχον· νομίζων μέτοικον εἶναι. εἰπόντος δὲ τούτου, ὅτι Πλαταιεὺς εἴη, ἠρόμην, ὁπότε δημοτεύοιτο· παραινέσαντος τινὸς τῶν παρόντων προσκαλέσασθαι καὶ πρὸς τὴν φυλὴν, ἥστινος εἶναι σκήπτοιτο. ἐπειδὴ δὲ ἀπεκρίνατο, ὅτι Δεκελειόθεν, προσκαλεσάμενος αὐτὸν καὶ πρὸς τοὺς τῇ Ἱπποθοωντίδι δικάζοντας, ἐλθὼν ἐπὶ τὸ κουρεῖον τὸ παρὰ τοὺς Ἑρμᾶς, ἵνα οἱ Δεκελεῖς προσφοιτῶσιν, ἠρώτων, οὕς τε ἐξευρίσκοιμι Δεκελέων ἐπυνθανόμην, εἴ τινα γιγνώσκοιεν Δικελειόθεν δημοτευόμενον Παγκλέωνα. ἐπειδὴ δὲ οὐδεὶς ἔφασκεν γιγνώσκειν αὐτὸν, πυθό-

μενος, ὅτι καὶ ἑτέρας δίκας, τὰς μὲν φύγοι, τὰς δ' ὠφλήκοι παρὰ τῷ πολεμάρχῳ, ἔλαχον καὶ ἐγώ. πρῶτον μὲν οὖν ὑμῖν Δεκελέων οὓς ἠρόμην μάρτυρας παρέξομαι· ἔπειτα δὲ καὶ τῶν ἄλλων, τῶν λαχόντων τε δίκας αὐτῷ πρὸς τὸν πολέμαρχον καὶ καταδικασαμένων, ὅσοι τυγχάνουσι παρόντες. καί μοι ἐπίλαβε τὸ ὕδωρ. ΜΑΡΤΥΡΕΣ. Ἐκ μὲν τούτων πεισθεὶς πρὸς τὸν πολέμαρχον αὐτῷ τὴν δίκην ἔλαχον· ἐπειδὴ δέ μοι αὐτὴν ἀντεγράψατο μὴ εἰσαγώγιμον εἶναι, περὶ πολλοῦ ποιούμενος μηδενὶ δόξαι ὑβρίζειν βούλεσθαι μᾶλλον, ἢ δίκην λαβεῖν ὧν ἠδικήθην· πρῶτον μὲν Εὐθύκριτον, ὃν πρεσβύτατόν τε Πλαταιέων ἐγίγνωσκον, καὶ μάλιστα ᾠόμην εἰδέναι, ἠρόμην, εἴ τινα γιγνώσκοι Ἱππαρμοδώρου υἱὸν Παγκλέωνα Πλαταιέα· ἔπειτα δὲ, ἐπειδὴ ἐκεῖνος ἀπεκρίνατό μοι, ὅτι τὸν Ἱππαρμόδωρον μὲν γιγνώσκοι, υἱὸν δὲ ἐκείνῳ οὐδένα, οὔτε Παγκλέωνα, οὔτε ἄλλον οὐδένα εἰδείη ὄντα, ἠρώτων δὴ καὶ τῶν ἄλλων ὅσους ᾔδειν Πλαταιέας ὄντας. πάντες οὖν ἀγνοοῦντες τὸ ὄνομα αὐτοῦ, ἀκριβέστατα ἀν ἔφασάν με πυθέσθαι, ἐλθόντα εἰς τὸν χλωρὸν τυρὸν τῇ ἔνῃ καὶ νέᾳ. ταύτῃ γὰρ τῇ ἡμέρᾳ τοῦ μηνὸς ἑκάστου ἐκεῖσε συλλέγεσθαι τοὺς Πλαταιέας. ἐλθὼν οὖν εἰς τὸν τυρὸν ταύτῃ τῇ ἡμέρᾳ ἐπυνθανόμην αὐτῶν, εἴ τινα γιγνώσκοιεν Παγκλέωνα πολίτην σφέτερον. καὶ οἱ μὲν ἄλλοι οὐκ ἔφασαν γιγνώσκειν, εἷς δέ τις εἶπεν, ὅτι τῶν μὲν πολιτῶν οὐδενὶ εἰδείη τοῦτο ὂν τὸ ὄνομα, δοῦλον μέντοι ἔφη ἑαυτοῦ ἀφεστῶτα εἶναι Παγκλέωνα· τήν τε ἡλικίαν λέγων τὴν τοῦ

του, καὶ τὴν τέχνην, ᾗ οὗτος χρῆται. ταῦτ᾽ ἀληθῆ ἐστι, τόν τε Εὐθύκριτον, ὃν πρῶτον ἦρ καὶ τῶν ἄλλων Πλαταιέων ὅσοις προσῆλθον, κα ὃς ἔφη δεσπότης τούτου εἶναι, μάρτυρας παρέξ καί μοι ἐπίλαβε τὸ ὕδωρ. ΜΑΡΤΤΡΕΣ. Ἡμ τοίνυν μετὰ ταῦτα οὐ πολλαῖς ὕστερον, ἰδὼν μενον τουτονὶ Παγκλέωνα ὑπὸ Νικομήδους, μαρτύρησεν αὐτοῦ δεσπότης εἶναι, προσῆλθον, λόμενος εἰδέναι, ὁποῖόν τι περὶ αὐτοῦ πραχθή τότε μὲν οὖν ἐπειδὴ ἐπαύσαντο μαχόμενοι, τινες τῶν τούτῳ παρόντων, ὅτι εἴη αὐτῷ ἄδε ὃς ἐξαιρήσοιτο αὐτὸν εἰς ἐλευθερίαν. ἐπὶ τοῦτο γυησάμενοι παρέξειν, εἰς ἀγορὰν ᾤχοντο ἀπιο τῇ δ᾽ ὑστεραίᾳ τῆς τε ἀντιγραφῆς ἕνεκα τα καὶ αὐτῆς τῆς δίκης, ἔδοξέ μοι χρῆναι μάρτυρα βόντι παραγενέσθαι· ἵν᾽ εἰδείην τόν τ᾽ ἐξαιρη νον αὐτὸν, καὶ ὅ, τι λέγων ἀφαιρήσοιτο. ἐ μὲν οὖν ἐξηγγυήθη, οὔτε ἀδελφὸς, οὔτε ἄλλο δεὶς ἦλθε· γυνὴ δὲ, φάσκουσα αὐτῆς αὐτὸν δοῦλον, ἀμφισβητοῦσα τῷ Νικομήδει, καὶ οὐ ἐάσειν αὐτὸν ἄγειν. ὅσα μὲν οὖν αὐτόθι ἐρ πολὺς ἂν εἴη μοι λόγος διηγεῖσθαι· εἰς τοῦ βιαιότητος ἦλθον οἵ τε παρόντες τούτῳ καὶ οὗτος, ὥστε ἐθέλοντος μὲν τοῦ Νικομήδους, λούσης δὲ τῆς γυναικὸς ἀφιέναι, εἴ τις ἢ εἰς ἐλ ρίαν τοῦτον ἄγοι, [ἢ] φάσκων ἑαυτοῦ δοῦλον τούτων οὐδὲν ποιήσαντες, ἀφελόμενοι ᾤχοντο οὖν τῇ τε προτεραίᾳ ἐπὶ τούτοις ἐξηγγυήθη, τότε βίᾳ ᾤχοντο ἀφελόμενοι αὐτὸν, μάρτυρας

ξομαι ὑμῖν. καί μοι ἐπίλαβε τὸ ὕδωρ. ΜΑΡΤΤΡΕΣ. Ῥᾴδιον τοίνυν εἰδέναι, ὅτι οὐδ' αὐτὸς Παγκλέων νομίζει ἑαυτὸν μὴ ὅτι Πλαταιέα εἶναι, ἀλλ' οὐδὲ ἐλεύθερον. ὅστις γὰρ ἐβουλήθη βίᾳ ἀφαιρεθεὶς, ἐνόχους καταστῆσαι τοὺς ἑαυτοῦ ἐπιτηδείους τοῖς βιαίοις, μᾶλλον ἢ κατὰ τοὺς νόμους εἰς τὴν ἐλευθερίαν ἐξαιρεθεὶς, δίκην λαβεῖν παρὰ τῶν ἀγόντων αὐτὸν, οὐδενὶ χαλεπὸν γνῶναι, ὅτι εὖ εἰδὼς ἑαυτὸν ὄντα δοῦλον, ἔδεισεν ἐγγυητὰς καταστήσας περὶ τοῦ σώματος ἀγωνίσασθαι. ὅτι μὲν οὖν Πλαταιεὺς εἶναι πολλοῦ δεῖ, οἶμαι ὑμᾶς ἐκ τούτων σχεδόν τι γινώσκειν· ὅτι δὲ οὐδ' οὗτος, ὃς ἄριστα οἶδε τὰ αὑτοῦ, ἠγήσατο δόξαι ἂν ὑμῖν εἶναι Πλαταιεὺς, ἐξ ὧν ἔπραξε, ῥᾳδίως μαθήσεσθε. ἐν τῇ ἀντωμοσίᾳ γὰρ τῆς δίκης, ἣν αὐτῷ ἔλαχεν Ἀριστόδικος οὗτοσὶ, ἀμφισβητῶν μὴ πρὸς τὸν πολέμαρχον εἶναι οἱ τὰς δίκας, διεμαρτυρήθη μὴ Πλαταιεὺς εἶναι· ἐπισκηψάμενος δὲ τῷ μάρτυρι οὐκ ἐπεξῆλθεν, ἀλλ' εἴασε καταδικάσασθαι αὐτοῦ τὸν Ἀριστόδικον. ἐπεὶ δὲ ὑπερήμερος ἐγένετο, ἐξέτισε τὴν δίκην, καθότι ἔπειθε. καὶ τούτων, ὡς ἀληθῆ ἐστι, μάρτυρας ἐγὼ παρέξομαι ὑμῖν. καί μοι ἐπίλαβε τὸ ὕδωρ. ΜΑΡΤΤΡΕΣ. Πρὶν τοίνυν ταῦτα ὁμολογηθῆναι αὐτῷ, δεδιὼς τὸν Ἀριστόδικον, μεταστὰς ἐντεῦθεν Θήβῃσι μετῴκει. καίτοι οἶμαι εἰδέναι ὑμᾶς, ὅτι, εἴπερ ἦν Πλαταιεὺς, πανταχοῦ μᾶλλον ἢ Θήβῃσιν ἦν εἰκὸς αὐτὸν μετοικῆσαι. ὡς οὖν ᾤκει πολὺν χρόνον, τούτων ὑμῖν μάρτυρας παρέξομαι. καί μοι ἐπίλαβε τὸ ὕδωρ. ΜΑΡΤΤΡΕΣ. Ἐξαρκεῖν μοι νομίζω τὰ

εἰρημένα, ὦ ἄνδρες δικασταί. ἐὰν γὰρ διαμνημονεύητε, οἶδ', ὅτι τά τε δίκαια καὶ τἀληθῆ ψηφιεῖσθε, καὶ ἃ ἐγὼ ὑμῶν δέομαι.

ΛΥΣΙΟΥ

ΠΡΟΣ ΤΗΝ ΕΙΣΑΓΓΕΛΙΑΝ ΠΕΡΙ ΤΟΥ ΜΗ ΔΙΔΟΣΘΑΙ ΤΩι ΑΔΥΝΑΤΩι ΑΡΓΥΡΙΟΝ.

Πολλοῦ δέω χάριν ἔχειν, ὦ βουλή, τῷ κατηγόρῳ, ὅτι μοι παρεσκεύασε τὸν ἀγῶνα τουτονί. πρότερον γὰρ οὐκ ἔχων πρόφασιν, ἐφ' ἧς τοῦ βίου λόγον δοίην, νυνὶ διὰ τοῦτον εἴληφα. καὶ πειράσομαι τῷ λόγῳ τοῦτον μὲν ἐπιδεῖξαι ψευδόμενον, ἐμαυτὸν δὲ βεβιωκότα μέχρι τῆσδε τῆς ἡμέρας ἐπαίνου μᾶλλον ἄξιον, ἢ φθόνου. διὰ γὰρ οὐδὲν ἄλλο μοι δοκεῖ παρασκευάσαι τόνδε μοι τὸν κίνδυνον οὗτος, ἢ διὰ φθόνον. καίτοι ὅστις τούτοις φθονεῖ, οὓς οἱ ἄλλοι ἐλεοῦσι, τίνος ἂν ὑμῖν ὁ τοιοῦτος ἀποσχέσθαι δοκεῖ πονηρίας; εἰ μὲν γὰρ ἕνεκα χρημάτων, συκοφαντεῖ· εἰ δ' ὡς ἐχθρὸν ἑαυτοῦ με τιμωρεῖται, ψεύδεται. διὰ γὰρ τὴν πονηρίαν αὐτοῦ, οὔτε φίλῳ οὔτε ἐχθρῷ πώποτε ἐχρησάμην αὐτῷ. ἦ δὴ τοίνυν, ὦ βουλή, δῆλός ἐστι φθονῶν; ὅτι τοιαύτῃ κεχρημένος συμφορᾷ, τούτου βελτίων εἰμὶ πολίτης. καὶ γὰρ οἶμαι δεῖν, ὦ βουλή, τὰ τοῦ σώματος δυστυχήματα

τοῖς τῆς ψυχῆς ἐπιτηδεύμασιν ἰᾶσθαι. καλῶς. εἰ γὰρ ἐξ ἴσου τῇ συμφορᾷ καὶ τὴν διάνοιαν ἔξω, καὶ τὸν ἄλλον βίον διάξω, τί τούτου διοίσω; περὶ μὲν οὖν τούτων τοσαῦτά μοι εἰρήσθω. ὑπὲρ ὧν δέ μοι προσήκει λέγειν, ὡς ἂν οἷόν τε διὰ βραχυτάτων ἐρῶ. φησὶ γὰρ ὁ κατήγορος οὐ δικαίως με λαμβάνειν τὸ παρὰ τῆς πόλεως ἀργύριον. καὶ γὰρ τῷ σώματι δύνασθαι, καὶ οὐκ εἶναι τῶν ἀδυνάτων· καὶ τέχνην ἐπίστασθαι τοιαύτην, ὥστε καὶ ἄνευ τοῦ διδομένου τούτου ζῆν. καὶ τεκμηρίοις χρῆται τῆς μὲν τοῦ σώματος ῥώμης, ὅτι ἐπὶ τοὺς ἵππους ἀναβαίνω· τῆς δ' ἐν τῇ τέχνῃ εὐπορίας, ὅτι δύναμαι συνεῖναι δυναμένοις ἀνθρώποις ἀναλίσκειν. τὴν μὲν οὖν ἐκ τῆς τέχνης εὐπορίαν, καὶ τὸν ἄλλον τὸν ἐμὸν βίον, οἷος τυγχάνει ὤν, πάντας ὑμᾶς οἶομαι γινώσκειν· ὅμως δὲ κἀγὼ διὰ βραχέων ἐρῶ. ἐμοὶ γὰρ ὁ μὲν πατὴρ κατέλιπεν οὐδέν, τὴν δὲ μητέρα τελευτήσασαν πέπαυμαι τρέφων τρίτον ἔτος τουτί. παῖδες δέ μοι οὔπω εἰσίν, οἵ με θεραπεύσουσι. τέχνην δὲ κέκτημαι βραχέα δυναμένην ὠφελεῖν, ἣν αὐτὸς μὲν ἤδη χαλεπῶς ἐργάζομαι, τὸν διαδεξόμενον δ' αὐτὴν οὔπω δύναμαι κτήσασθαι. πρόσοδος δέ μοι οὐκ ἔστιν ἄλλη πλὴν ταύτης· ἧς ἂν ἀφέλησθέ με, κινδυνεύσαιμ' ἂν ὑπὸ τῇ δυσχερεστάτῃ γενέσθαι τύχῃ. μὴ τοίνυν, ἐπειδή γέ ἐστιν, ὦ βουλή, σῶσαί με δικαίως, ἀπολέσητε ἀδίκως· μηδὲ ἃ νεωτέρῳ καὶ μᾶλλον ἐρρωμένῳ ὄντι ἔδοτε, πρεσβύτερον καὶ ἀσθενέστερον γιγνόμενον ἀφέλησθε· μηδὲ πρότερον καὶ περὶ τοὺς οὐδὲν ἔχοντας κακὸν ἐλεημονέστατοι δο-

κοῦντες εἶναι, νυνὶ διὰ τοῦτον τοὺς καὶ τοῖς ἐχθροῖς ἐλεεινοὺς ὄντας ἀργίως ἀποδέξησθε· μηδέ με τολμήσαντες ἀδικῆσαι, καὶ τοὺς ἄλλους τοὺς δμοίως ἐμοὶ διακειμένους ἀθυμῆσαι ποιήσητε. καὶ γὰρ ἂν ἄτοπον εἴη, ὦ βουλὴ, εἰ, ὅτε μὲν ἁπλῆ μοι ἦν ἡ συμφορὰ, τότε μὲν φαινοίμην λαμβάνων τὸ ἀργύριον τοῦτο· νῦν δ' ἐπειδὴ καὶ γῆρας καὶ νόσοι καὶ τὰ τούτοις ἐχόμενα κακὰ προσγίνεταί μοι, τότε ἀφαιρεθείην. δοκεῖ δέ μοι τῆς πενίας τῆς ἐμῆς τὸ μέγεθος ὁ κατήγορος ἂν ἐπιδεῖξαι σαφέστατα μόνος ἀνθρώπων. εἰ γὰρ ἐγὼ κατασταθεὶς χορηγὸς τραγῳδοῖς προκαλεσαίμην αὐτὸν εἰς ἀντίδοσιν; δεκάκις ἂν ἕλοιτο χορηγῆσαι μᾶλλον, ἢ ἀντιδοῦναι ἅπαξ. καὶ πῶς οὐ δεινόν ἐστι, νῦν μὲν κατηγορεῖν, ὡς διὰ πολλὴν εὐπορίαν ἐξίσου δύναμαι συνεῖναι τοῖς πλουσιωτάτοις· εἰ δὲ, ὡς ἐγὼ λέγω, τύχοι γενόμενον, εἶναι τοιοῦτον καὶ ἔτι πονηρότερον; περὶ δὲ τῆς ἐμῆς ἱππικῆς, ἧς οὗτος ἐτόλμησε μνησθῆναι πρὸς ὑμᾶς, οὔτε τὴν τύχην δείσας, οὔτε ὑμᾶς αἰσχυνθεὶς, οὐ πολὺς ὁ λόγος. ἐγὼ γὰρ, ὦ βουλὴ, πάντας τοὺς ἔχοντά τι δυστύχημα τοιοῦτον, ζητεῖν καὶ τοῦτο φιλοσοφεῖν, ὅπως ὡς ἀλυπότατα μεταχειριοῦνται τὸ συμβεβηκὸς πάθος. ὧν εἷς ἐγὼ, καὶ περιπεπτωκὼς τοιαύτῃ συμφορᾷ, ταύτην ἐμαυτῷ φορστώνην ἐξεῦρον εἰς τὰς ὁδοὺς τὰς μακροτέρας τῶν ἀναγκαίων. ὃ δὲ μέγιστον, ὦ βουλὴ, τεκμήριον ὅτι διὰ τὴν συμφορὰν, ἀλλ' οὐ διὰ τὴν ὕβριν (οὗτός φησιν) ἐπὶ τοὺς ἵππους ἀναβαίνω, φάθ ἔστι μαθεῖν. εἰ γὰρ ἐκεκτήμην οὐσίαν, ἐπ' ἄστι

βης ἂν ᾠχούμην, ἀλλ' οὐκ ἐπὶ τοὺς ἀλλοτρίους ἵπ
πους ἀνέβαινον· νυνὶ δ' ἐπειδὴ τοιοῦτον οὐ δύνα
μαι κτήσασθαι, τοῖς ἀλλοτρίοις ἵπποις ἀναγκάζομαι
χρῆσθαι πολλάκις. καίτοι πῶς οὐκ ἄτοπόν ἐστιν,
ὦ βουλή, τοῦτον αὐτὸν, εἰ μὲν ἐπ' ἀστράβης ὀχού-
μενον ἑώρα με, σιωπᾷν (τί γὰρ ἂν καὶ ἔλεγεν;) ὅτι
δ' ἐπὶ τοὺς ἠτημένους ἵππους ἀναβαίνω, πειρᾶσθαι
πείθειν ὑμᾶς, ὡς δυνατὸς εἴην; καὶ ὅτι μὲν δυοῖν
βακτηρίαιν χρῶμαι, τῶν ἄλλων μιᾷ χρωμένων, μὴ
κατηγορεῖν, ὡς καὶ τοῦτο τῶν δυναμένων ἐστίν· ὅτι
δ' ἐπὶ τοὺς ἵππους ἀναβαίνω, τεκμηρίῳ χρῆσθαι
πρὸς ὑμᾶς, ὡς εἰμὶ τῶν δυναμένων; οἷς ἐγὼ διὰ τὴν
αὐτὴν αἰτίαν ἀμφοτέραις οὐ χρῶμαι. τοσοῦτον δὲ
διενήνοχεν ἀναισχυντίᾳ τῶν ἁπάντων ἀνθρώπων,
ὥστε καὶ ὑμᾶς πειρᾶται πείθειν, τοσούτους ὄντας
εἷς ὤν, ὡς οὐκ εἰμὶ τῶν ἀδυνάτων ἐγώ. καίτοι εἰ
τοῦτο πείσει τινὰς ὑμῶν, ὦ βουλή, τί με κωλύει κλη-
ροῦσθαι τῶν ἐννέα ἀρχόντων; καὶ ὑμᾶς ἐμοῦ μὲν ἀ-
φελέσθαι τὸν ὀβολὸν, ὡς ὑγιαίνοντος, τούτῳ δὲ ψη-
φίσασθαι πάντας, ὡς ἀναπήρῳ; οὐ γὰρ δήπου τὸν
αὐτὸν ὑμεῖς μὲν ὡς δυνάμενον ἀφαιρήσεσθε τὸ δι-
δόμενον, οἱ δὲ, ὡς ἀδύνατον ὄντα, κληροῦσθαι κω-
λύσουσιν. ἀλλὰ γὰρ οὔτε ὑμεῖς τούτῳ τὴν αὐτὴν
ἔχετε γνώμην, οὔθ' οὗτος εὖ ποιῶν. ὁ μὲν γὰρ, ὥς-
περ ἐπικλήρου τῆς συμφορᾶς οὔσης, ἀμφισβητήσων
ἥκει, καὶ πειρᾶται πείθειν ὑμᾶς, ὡς οὐκ εἰμὶ τοιοῦ-
τος, οἷον ὑμεῖς ὁρᾶτε πάντες· ὑμεῖς δὲ (ὃ τῶν εὖ
φρονούντων ἔργον ἐστὶ) μᾶλλον πιστεύσατε τοῖς ὑ-
μετέροις αὐτῶν ὀφθαλμοῖς, ἢ τοῖς τούτου λόγοις

κοῦντες εἶναι, νυνὶ διὰ τοῦτον τοὺς καὶ τοῖς ἐχθροῖς ἐλεεινοὺς ὄντας ἀγρίως ἀποδέξησθε· μηδέ με τολμήσαντες ἀδικῆσαι, καὶ τοὺς ἄλλους τοὺς ὁμοίως ἐμοὶ διακειμένους ἀθυμῆσαι ποιήσητε. καὶ γὰρ ἂν ἄτοπον εἴη, ὦ βουλὴ, εἰ, ὅτε μὲν ἁπλῆ μοι ἦν ἡ συμφορὰ, τότε μὲν φαινοίμην λαμβάνων τὸ ἀργύριον τοῦτο· νῦν δ' ἐπειδὴ καὶ γῆρας καὶ νόσοι καὶ τὰ τούτοις ἐχόμενα κακὰ προσγίνεταί μοι, τότε ἀφαιρεθείην. δοκεῖ δέ μοι τῆς πενίας τῆς ἐμῆς τὸ μέγεθος ὁ κατήγορος ἂν ἐπιδεῖξαι σαφέστατα μόνος ἀνθρώπων. εἰ γὰρ ἐγὼ κατασταθεὶς χορηγὸς τραγῳδοῖς προκαλεσαίμην αὐτὸν εἰς ἀντίδοσιν, δεκάκις ἂν ἕλοιτο χορηγῆσαι μᾶλλον, ἢ ἀντιδοῦναι ἅπαξ. καὶ πῶς οὐ δεινόν ἐστι, νῦν μὲν κατηγορεῖν, ὡς διὰ πολλὴν εὐπορίαν ἐξίσου δύναμαι συνεῖναι τοῖς πλουσιωτάτοις· εἰ δὲ, ὡς ἐγὼ λέγω, τύχοι γενόμενον, εἶναι τοιοῦτον καὶ ἔτι πονηρότερον; περὶ δὲ τῆς ἐμῆς ἱππικῆς, ἧς οὗτος ἐτόλμησε μνησθῆναι πρὸς ὑμᾶς, οὔτε τὴν τύχην δείσας, οὔτε ὑμᾶς αἰσχυνθεὶς, οὐ πολὺς ὁ λόγος. ἐγὼ γὰρ, ὦ βουλὴ, πάντας τοὺς ἔχοντάς τι δυστύχημα τοιοῦτον, ζητεῖν καὶ τοῦτο φιλοσοφεῖν, ὅπως ὡς ἀλυπότατα μεταχειροῦνται τὸ συμβεβηκὸς πάθος. ὧν εἷς ἐγὼ, καὶ παρεπεπτωκὼς τοιαύτῃ συμφορᾷ, ταύτην ἐμαυτῷ φαστώνην ἐξεῦρον εἰς τὰς ὁδοὺς τὰς μακροτέρας τῶν ἀναγκαίων. ὃ δὲ μέγιστον, ὦ βουλὴ, τεκμήριον, ὅτι διὰ τὴν συμφορὰν, ἀλλ' οὐ διὰ τὴν ὕβριν (ὡς οὗτός φησιν) ἐπὶ τοὺς ἵππους ἀναβαίνω, ῥᾴδιόν ἐστι μαθεῖν. εἰ γὰρ ἐκεκτήμην οὐσίαν, ἐπ' ἀστρά-

βης ἂν ὠχούμην, ἀλλ' οὐκ ἐπὶ τοὺς ἀλλοτρίους ἵπ
πους ἀνέβαινον· νυνὶ δ' ἐπειδὴ τοιοῦτον οὐ δύνα
μαι κτήσασθαι, τοῖς ἀλλοτρίοις ἵπποις ἀναγκάζομαι
χρῆσθαι πολλάκις. καίτοι πῶς οὐκ ἄτοπόν ἐστιν,
ὦ βουλή, τοῦτον αὐτόν, εἰ μὲν ἐπ' ἀστράβης ὀχού-
μενον ἑώρα με, σιωπᾷν (τί γὰρ ἂν καὶ ἔλεγεν;) ὅτι
δ' ἐπὶ τοὺς ἠτημένους ἵππους ἀναβαίνω, πειρᾶσθαι
πείθειν ὑμᾶς, ὡς δυνατὸς εἴην; καὶ ὅτι μὲν δυοῖν
βακτηρίαιν χρῶμαι, τῶν ἄλλων μιᾷ χρωμένων, μὴ
κατηγορεῖν, ὡς καὶ τοῦτο τῶν δυναμένων ἐστίν· ὅτι
δ' ἐπὶ τοὺς ἵππους ἀναβαίνω, τεκμηρίῳ χρῆσθαι
πρὸς ὑμᾶς, ὡς εἰμὶ τῶν δυναμένων; οἷς ἐγὼ διὰ τὴν
αὐτὴν αἰτίαν ἀμφοτέραις οὐ χρῶμαι. τοσοῦτον δὲ
διενήνοχεν ἀναισχυντίᾳ τῶν ἁπάντων ἀνθρώπων,
ὥστε καὶ ὑμᾶς πειρᾶται πείθειν, τοσούτους ὄντας
εἷς ὤν, ὡς οὐκ εἰμὶ τῶν ἀδυνάτων ἐγώ. καίτοι εἰ
τοῦτο πείσει τινὰς ὑμῶν, ὦ βουλή, τί με κωλύει κλη-
ροῦσθαι τῶν ἐννέα ἀρχόντων; καὶ ὑμᾶς ἐμοῦ μὲν ἀ-
φελέσθαι τὸν ὀβολόν, ὡς ὑγιαίνοντος, τούτῳ δὲ ψη-
φίσασθαι πάντας, ὡς ἀναπήρῳ; οὐ γὰρ δήπου τὸν
αὐτὸν ὑμεῖς μὲν ὡς δυνάμενον ἀφαιρήσεσθε τὸ δι-
δόμενον, οἱ δὲ, ὡς ἀδύνατον ὄντα, κληροῦσθαι κω-
λύσουσιν. ἀλλὰ γὰρ οὔτε ὑμεῖς τούτῳ τὴν αὐτὴν
ἔχετε γνώμην, οὔθ' οὗτος εὖ ποιῶν. ὁ μὲν γὰρ, ὥς-
περ ἐπικλήρου τῆς συμφορᾶς οὔσης, ἀμφισβητήσων
ἥκει, καὶ πειρᾶται πείθειν ὑμᾶς, ὡς οὐκ εἰμὶ τοιοῦ-
τος, οἷον ὑμεῖς ὁρᾶτε πάντες· ὑμεῖς δὲ (ὃ τῶν εὖ
φρονούντων ἔργον ἐστὶ) μᾶλλον πιστεύσατε τοῖς ὑ-
μετέροις αὐτῶν ὀφθαλμοῖς, ἢ τοῖς τούτου λόγοις.

λέγων δ', ὡς ὑβριστής εἰμι καὶ βίαιος, καὶ λίαν ἀσελγῶς διακείμενος, ὥσπερ εἰ φοβερὸν ὀνομάσαι, μέλλων ἀληθῆ λέγειν, ἀλλ' οὐκ ἂν πάνυ πρᾷον. ὡς μηδὲ ψεύσηται ταῦτα ποιήσων. ἐγὼ δ' ὑμᾶς, ὦ βουλή, σαφῶς οἶμαι δεῖν διαγινώσκειν, οἷς τ' ἐγχωρεῖ τῶν ἀνθρώπων ὑβρισταῖς εἶναι, καὶ οἷς οὐ προσήκει. οὐ γὰρ πενομένους καὶ λίαν ἀπόρως διακειμένους ὑβρίζειν εἰκὸς, ἀλλὰ τοὺς πολλῷ πλείω τῶν ἀναγκαίων κεκτημένους· οὐδὲ τοὺς ἀδυνάτους τοῖς σώμασιν ὄντας, ἀλλὰ τοὺς μάλιστα πιστεύοντας ταῖς αὐτῶν ῥώμαις· οὐδὲ τοὺς ἤδη προβεβηκότας τῇ ἡλικίᾳ, ἀλλὰ τοὺς ἔτι νέους, καὶ νέαις ταῖς διανοίαις χρωμένους. οἱ μὲν γὰρ πλούσιοι τοῖς χρήμασιν ἐξωνοῦνται τοὺς κινδύνους, οἱ δὲ πένητες ὑπὸ τῆς παρούσης ἀπορίας σωφρονεῖν ἀναγκάζονται· καὶ οἱ μὲν νέοι συγγνώμης ἀξιοῦνται τυγχάνειν παρὰ τῶν πρεσβυτέρων, τοῖς δ' ἑτέροις ἐξαμαρτάνουσιν ὁμοίως ἐπιτιμῶσιν ἀμφότεροι· καὶ τοῖς μὲν ἰσχυροῖς ἐγχωρεῖ, μηδὲν αὐτοῖς πάσχουσιν, οὓς ἐὰν βουληθῶσιν, ὑβρίζειν, τοῖς δὲ ἀσθενέσιν οὐκ ἔστιν οὔτε ὑβριζομένοις ἀμύνεσθαι τοὺς ὑπάρξαντας, οὔτε ὑβρίζειν βουλομένοις περιγίνεσθαι τῶν ἀδικουμένων. ὥστέ μοι δοκεῖ ὁ κατήγορος εἰπεῖν περὶ τῆς ἐμῆς ὕβρεως, οὐ σπουδάζων, ἀλλὰ παίζων· οὐδ' ὑμᾶς πεῖσαι βουλόμενος, ὡς ἐμὲ τοιοῦτος, ἀλλ' ἐμὲ κωμῳδεῖν βουλόμενος, ὥσπέρ τι καλὸν ποιῶν. ἔτι δὲ καὶ συλλέγεσθαι φησὶν ἀνθρώπους ὡς ἐμὲ πονηροὺς καὶ πολλοὺς, οἳ τὰ μὲν ἑαυτῶν ἀνηλώκασι, τοῖς δὲ τὰ σφέτερα σώζειν βουλομένοις ἐπιβουλεύουσιν. ὑμεῖς δὲ ἐνθυμήθητε πάντες,

ὅτι ταῦτα λέγων, οὐδὲν ἐμοῦ κατηγορεῖ μᾶλλον, ἢ τῶν ἄλλων, ὅσοι τέχνας ἔχουσιν· οὐδὲ τῶν ὡς ἐμὲ εἰσιόντων μᾶλλον, ἢ τῶν ὡς τοὺς ἄλλους δημιουργούς. ἕκαστος γὰρ ὑμῶν εἴθισται προσφοιτᾷν, ὁ μὲν, πρὸς μυροπώλιον· οἱ δὲ, πρὸς κουρεῖον· ὁ δὲ, πρὸς σκυτοτομεῖον· ὁ δ' ὅπη ἂν τύχῃ· καὶ πλεῖστοι μὲν ὡς τοὺς ἐγγυτάτω τῆς ἀγορᾶς κατεσκευασμένους, ἐλάχιστοι δὲ ὡς τοὺς οὐ πλεῖστον ἀπέχοντας αὐτῆς. ὥστ' εἴ τις ὑμῶν πονηρίαν καταγνώσεται τῶν ὡς ἐμὲ εἰσιόντων, δῆλον, ὅτι καὶ τῶν παρὰ τοῖς ἄλλοις διατριβόντων· εἰ δὲ κἀκείνων, ἁπάντων Ἀθηναίων ἅπαντες γὰρ εἴθισθε προσφοιτᾷν καὶ διατρίβειν ἄλλου γέ που. ἀλλὰ γὰρ οὐκ οἶδ' ὅ, τι δεῖ λίαν μὲν ἀκριβῶς ἀπολογούμενον πρὸς ἓν ἕκαστον ὑμῖν τῶν εἰρημένων, ἐνοχλεῖν πλείω χρόνον. εἰ γὰρ ὑπὲρ τῶν μεγίστων εἴρηκα, τί δεῖ περὶ τῶν ὁμοίως τούτῳ φαύλων σπουδάζειν; ἐγὼ δ' ὑμῶν, ὦ βουλὴ, δέομαι πάντων, τὴν αὐτὴν ἔχειν περὶ ἐμοῦ διάνοιαν, ἥνπερ καὶ πρότερον. μηδ' οὗ μόνον μεταλαβεῖν ἔδωκεν ἡ τύχη μοι τῶν ἐν τῇ πατρίδι, τούτου διὰ τουτονὶ ἀποστερήσητέ με· μηδ' ἃ πάλαι κοινῇ πάντες ἔδοτε μοι, νῦν οὗτος εἷς ὢν πείσῃ πάλιν ὑμᾶς ἀφελέσθαι. ἐπειδὴ γὰρ, ὦ βουλὴ, τῶν μεγίστων ἀρχῶν ὁ δαίμων ἀπεστέρησεν ἡμᾶς, ἡ πόλις ἡμῖν ἐψηφίσατο τοῦτο τὸ ἀργύριον, ἡγουμένη κοινὰς εἶναι τὰς τύχας τοῖς ἅπασι καὶ τῶν κακῶν καὶ τῶν ἀγαθῶν. πῶς οὖν οὐκ ἂν δειλαιότατος εἴην, εἰ τῶν μὲν καλλίστων καὶ μεγίστων διὰ τὴν συμφορὰν ἀπεστερημένος εἴην· ἃ δ' ἡ πόλις ἔδωκε προνοηθεῖσα τῶν οὕτως διακειμένων,

διὰ τὸν κατήγορον ἀφαιρεθείην; μηδαμῶς
λῃ, ταύτῃ θέσθε τὴν ψῆφον. διὰ τί γὰρ ἃ
χοιμι τοιούτων ὑμῶν; πότερον, ὅτι δι' ἐμ
ἀγῶνα πώποτε καταστὰς, ἀπώλεσε τὴν οὐσ
οὐδ' ἂν εἷς ἀποδείξειεν. ἀλλ' ὅτι πολυπρα
μὴ, καὶ θρασὺς καὶ φιλαπεχθήμων; ἀλλ' ο
ταις ἀφορμαῖς τοῦ βίου πρὸς τὰ τοιαῦτα
χρώμενος. ἀλλ' ὅτι λίαν ὑβριστὴς καὶ βίαι
ἂν αὐτὸς φήσειεν, εἰ μὴ βούλοιτο καὶ τοῦ
σθαι τοῖς ἄλλοις ὁμοίως. ἀλλ' ὅτι ἐπὶ τῶν
τα γενόμενος ἐν δυνάμει, κακῶς ἐποίησα
τῶν πολιτῶν; ἀλλὰ μετὰ τοῦ ὑμετέρου πλήθ
γον εἰς Χαλκίδα τὴν ἐπ' Εὐρίπῳ· καὶ ἐξόν
ἐκείνων ἀδεῶς πολιτεύεσθαι, μεθ' ὑμῶν εἶλ
δυνεύειν ἁπάντων. μὴ τοίνυν, ὦ βουλὴ,
μαρτηκὼς, ὁμοίως ὑμῶν τύχοιμι τοῖς πολ
κόσιν· ἀλλὰ τὴν αὐτὴν ψῆφον θέσθε περὶ
ἄλλαις βουλαῖς· ἀναμνησθέντες, ὅτι οὔτε
διαχειρίσας τῆς πόλεως, δίδωμι λόγον αὐτ
ἀρχὴν ἄρξας οὐδεμίαν, εὐθύνας ὑπέχω νῦ
ἀλλὰ περὶ ὁβολοῦ μόνον ποιοῦμαι τοὺς λό
οὕτως ὑμεῖς μὲν τὰ δίκαια γνώσεσθε πάντε
τούτων ὑμῖν τυχὼν ἔξω τὴν χάριν· οὗτος δ
ποῦ μαθήσεται μὴ τοῖς ἀσθενεστέροις ἐπιβ
ἀλλὰ τῶν ὁμοίων αὐτῷ περιγίνεσθαι.

ΛΥΣΙΟΥ

ΔΗΜΟΥ ΚΑΤΑΛΥΣΕΩΣ ΑΠΟΛΟΓΙΑ.

Ὑμῖν μὲν πολλὴν συγγνώμην ἔχω, ὦ ἄνδρες δικασταὶ, ἀκούουσι τοιούτων λόγων, καὶ ἀναμιμνησκομένοις τῶν γεγενημένων, ὁμοίως ἅπασιν ὀργίζεσθαι τοῖς ἐν ἄστει μείνασι· τῶν δὲ κατηγόρων θαυμάζω, οἳ ἀμελοῦντες τῶν οἰκείων, τῶν ἀλλοτρίων ἐπιμελοῦνται· οἳ σαφῶς εἰδότες τοὺς μὴ ἀδικοῦντας, καὶ τοὺς πολλὰ ἐξημαρτηκότας, ζητοῦσι κερδαίνειν, ἢ ὑμᾶς πείθειν περὶ ἁπάντων ἡμῶν τὴν γνώμην ταύτην ἔχειν. εἰ μὲν οὖν οἴονται ἃ ὑπὸ τῶν τριάκοντα γεγένηνται τῇ πόλει, ἐμοῦ κατηγορηκέναι, ἀδυνάτους αὐτοὺς ἡγοῦμαι λέγειν· οὐδὲ γὰρ πολλοστὸν μέρος τῶν ἐκείνοις πεπραγμένων εἰρήκασιν· εἰ δὲ, ὡς ἐμοί τι προσῆκον, περὶ αὐτῶν ποιοῦνται τοὺς λόγους, ἀποδεῖξαι τούτους μὲν ἅπαντας ψευδομένους, ἐμαυτὸν δὲ τοιοῦτον ὄντα, οἷόσπερ ἂν τῶν ἐκ Πειραιῶς βέλτιστος ἐν ἄστει μείνας ἐγένετο. δέομαι δ' ὑμῶν, ὦ ἄνδρες δικασταὶ, μὴ τὴν αὐτὴν γνώμην ἔχειν τοῖς συκοφάνταις. τούτων μὲν γὰρ ἔργον ἐστὶ, καὶ τοὺς μηδὲν ἡμαρτηκότας εἰς αἰτίαν καθιστάνειν, (ἐκ τούτων γὰρ ἂν μάλιστα χρηματίζειν) τὸ ὑμέτερον δὲ, τοῖς μηδὲν ἀδικοῦσιν ἐξίσου τῆς πολιτείας μεταδιδό-

ναι. οὕτω γὰρ ἂν τοῖς καθεστηκόσι πράγμασι
στους συμμάχους ἔχοιτε. ἀξιῶ δὲ, ὦ ἄνδρες δι
σται, ἐὰν ἀποφανῶ συμφορᾶς μὲν μηδεμιᾶς αἴτ
γεγενημένος, πολλὰ δὲ κἀγαθὰ εἰργασμένος τὴν
λιν καὶ τῷ σώματι καὶ τοῖς χρήμασι, ταῦτα γ
μοι παρ' ὑμῶν ὑπάρχειν, ὧν οὐ μόνον τοὺς εὖ
ποιηκότας, ἀλλὰ καὶ τοὺς μηδὲν ἀδικοῦντας, τυγ
νειν δίκαιόν ἐστι. μέγα μὲν οὖν ἡγοῦμαι τεκμήρ
εἶναι, ὅτι, εἴπερ ἐδύναντο οἱ κατήγοροι ἰδίᾳ με
δικοῦντα ἐξελέγξαι, οὐκ ἂν τὰ τῶν τριάκοντα ἅμ
τήματα ἐμοῦ κατηγόρουν, οὐδ' ἂν ᾤοντο χρῆναι
πὲρ τῶν ἐκείνοις πεπραγμένων ἑτέρους διαβάλλ
ἀλλ' αὐτοὺς τοὺς ἀδικοῦντας τιμωρεῖσθαι. νῦν
νομίζουσι τὴν πρὸς ἐκείνους ὀργὴν ἱκανὴν εἶναι
τοὺς μηδὲν κακὸν εἰργασμένους ἀπολέσαι. ἐγὼ
οὐχ ἡγοῦμαι δίκαιον εἶναι, οὔτε εἴ τινες τῇ πό
πολλῶν ἀγαθῶν αἴτιοι γεγένηνται, ἄλλους τινὰς
πὲρ τούτων τιμὴν ἢ χάριν κομίσασθαι παρ' ὑμ
οὔτ' εἴ τινες πολλὰ κακὰ εἰργασμένοι εἰσὶν, εἰκό
ἂν δι' ἐκείνους τοὺς μηδὲν ἀδικοῦντας ὀνείδους
διαβολῆς τυγχάνειν. ἱκανοὶ γὰρ οἱ ὑπάρχοντες
θροὶ τῇ πόλει, καὶ μέγα κέρδος νομίζοντες εἶ
τοὺς ἀδίκως ἐν ταῖς διαβολαῖς καθεστηκότας.
ράσομαι δ' ὑμᾶς διδάξαι, οὓς ἡγοῦμαι τῶν πολι
προσήκειν ὀλιγαρχίας ἐπιθυμεῖν καὶ δημοκρατ
ἐκ τούτου γὰρ καὶ ὑμεῖς γνώσεσθε, κἀγὼ περὶ ἐμ
τοῦ τὴν ἀπολογίαν ποιήσομαι· ἀποφαίνων, ὡς
τε ἐξ ὧν ἐν δημοκρατίᾳ, οὔτε ἐξ ὧν ἐν ὀλιγαρχίᾳ
πολιτικὰ, οὐδέν μοι προσῆκον κακόνουν εἶναι τῷ π

θει τῷ ὑμετέρῳ. πρῶτον μὲν οὖν ἐνθυμηθῆναι χρὴ, ὅτι οὐδείς ἐστιν ἀνθρώπων φύσει οὔτε ὀλιγαρχικὸς, οὔτε δημοκρατικὸς, ἀλλ' ἥτις ἂν ἑκάστῳ πολιτεία μὴ συμφέρῃ, ταύτην προθυμεῖται μεθιστάναι. ὥστε οὐκ ἐλάχιστον ἐν ὑμῖν ἐστι μέρος, ὡς πλείστους ἐπιθυμεῖν τῶν παρόντων νυνὶ πραγμάτων. καὶ ταῦτα ὅτι οὕτως ἔχει, οὐ χαλεπῶς ἐκ τῶν πρότερον γεγενημένων μαθήσεσθε. σκέψασθε γὰρ, ὦ ἄνδρες δικασταὶ, τοὺς προστάντας ἀμφοτέρων πολιτειῶν, ὁσάκις δὴ μετεβάλοντο. οὐ Φρύνιχος μὲν καὶ Πείσανδρος, καὶ οἱ μετ' ἐκείνων δημαγωγοὶ, ἐπειδὴ πολλὰ εἰς ὑμᾶς ἐξήμαρτον, τὰς περὶ τούτων δείσαντες τιμωρίας, τὴν πρότεραν ὀλιγαρχίαν κατέστησαν; πολλοὶ δὲ τῶν τετρακοσίων μετὰ τῶν ἐκ Πειραιῶς συγκατῆλθον; ἔνιοι δὲ τῶν ἐκείνους ἐκβαλόντων αὐτοὶ αὖθις τῶν τριάκοντα ἐγένοντο; εἰσὶ δὲ, οἵτινες τῶν Ἐλευσίναδε ἀπογραψαμένων, ἐξελθόντες μεθ' ὑμῶν, ἐπολιορκοῦντο μετ' αὐτῶν. οὔκουν χαλεπὸν γνῶναι, ὦ ἄνδρες δικασταὶ, ὅτι οὐ περὶ πολιτείας εἰσὶν αἱ πρὸς ἀλλήλους διαφοραὶ, ἀλλὰ περὶ τῶν ἰδίᾳ συμφερόντων ἑκάστῳ. ὑμᾶς οὖν χρὴ ἐκ τούτων δοκιμάζειν τοὺς πολίτας, σποποῦντας μὲν, ὅπως ἦσαν ἐν τῇ δημοκρατίᾳ πεπολιτευμένοι, ζητοῦντας δὲ, εἴ τις αὐτοῖς ἐγίνετο ὠφέλεια τῶν πραγμάτων μεταπεσόντων. οὕτω γὰρ ἂν εἴη δικαιοτάτην κρίσιν περὶ αὐτῶν ποιεῖσθαι. ἐγὼ τοίνυν ἡγοῦμαι, ὅσοι μὲν ἐν τῇ δημοκρατίᾳ ἄτιμοι ἦσαν, εὐθύνας δεδωκότες, ἢ τῶν ὄντων ἀπεστερημένοι, ἢ ἄλλῃ τινὶ συμφορᾷ τοιαύτῃ κεχρημένοι, προσήκειν αὐτοῖς ἑτέρας ἐπι-

θυμεῖν πολιτείας, ἐλπίζοντας τὴν μεταβολὴν ὠφε-
λειάν τινα αὐτοῖς ἔσεσθαι· ὅσοι δὲ τὸν δῆμον πολλὰ
κἀγαθὰ εἰργασμένοι εἰσὶ, κακὸν δὲ μηδὲν πώποτε,
ὀφείλεται δὲ αὐτοῖς χάριν κομίσασθαι παρ' ὑμῶν,
μᾶλλον ἢ δοῦναι δίκην τῶν πεπραγμένων, οὐκ ἄξιον
τὰς τούτων ὑποδέχεσθαι διαβολάς· οὐδ' ἂν πάντες
οἱ τὰ τῆς πόλεως πράττοντες, ὀλιγαρχικοὺς αὐτοὺς
φάσκωσιν εἶναι. ἐμοὶ τοίνυν, ὦ ἄνδρες δικασταὶ,
οὔτ' ἰδία οὔτε δημοσία συμφορὰ ἐν ἐκείνῳ τῷ χρόνῳ
οὐδεμία πώποτε ἐγένετο, ἀνθ' ἧστινος ἂν προθυμού-
μενος τῶν παρόντων κακῶν ἀπαλλαγῆναι, ἑτέρων
ἐπεθύμουν πραγμάτων. ἐτριηράρχησα μὲν γὰρ πεν-
τάκις, καὶ τετράκις νεναυμάχηκα, καὶ εἰσφορὰς ἐν
τῷ πολέμῳ πολλὰς εἰσενήνοχα, καὶ τἄλλα λελειτούρ-
γηκα, οὐδενὸς χεῖρον τῶν πολιτῶν. καίτοι διὰ τοῦτο
πλείω τῶν ὑπὸ τῆς πόλεως προσταττομένων ἐδαπανῶ-
μεν, ἵνα καὶ βελτίων ὑφ' ὑμῶν νομιζοίμην, καὶ, εἴ-
που μοί τις συμφορὰ γένοιτο, ἄμεινον ἀγωνιζοίμην.
ὧν ἐν τῇ ὀλιγαρχίᾳ ἁπάντων ἀπεστερούμην. οὐ γὰρ
τοὺς τῷ πλήθει ἀγαθοῦ τινος αἰτίους γεγενημένους,
χάριτος παρ' αὐτῶν ἠξίουν τυγχάνειν, ἀλλὰ τοὺς
πλεῖστα κακὰ ὑμᾶς εἰργασμένους εἰς τὰς τιμὰς κα-
θίστασαν, ὡς ταύτην παρ' ἡμῶν πίστιν εἰληφότες. ἃ
χρὴ πάντας ἐνθυμουμένους, μὴ τοῖς τούτων λόγοις
πιστεύειν, ἀλλὰ καὶ ἐκ τῶν ἔργων σκοπεῖν ἃ ἑκάστῳ
τυγχάνει πεπραγμένα. ἐγὼ γὰρ, ὦ ἄνδρες δικασταὶ,
οὔτε ἐπὶ τῶν τετρακοσίων ἐγενόμην· ἢ τῶν κατηγό-
ρων ὁ βουλόμενος παρελθὼν ἐλεγξάτω. οὐ τοίνυν
οὐδ' ἐπειδὴ οἱ δέκα κατέστησαν, οὐδείς με ἀποδείξει

ιῦτε βουλεύσαντα, οὔτε ἀρχὴν οὐδεμίαν ἄρξαντα. καίτοι εἰ μὲν ἐξόν μοι ἄρχειν, μὴ ἠβουλόμην, ὑφ' ὑμῶν νυνὶ τιμᾶσθαι δίκαιός εἰμι· εἰ δὲ οἷ τότε δυνάμενοι μὴ ἠξίουν μοι μεταδιδόναι τῶν πραγμάτων, πῶς ἂν φανερώτερον ἢ οὕτω ψευδομένους ἀποδείξαιμι τοὺς κατηγόρους; ἔτι τοίνυν, ὦ ἄνδρες δικασταί, καὶ ἃ τῶν ἄλλων τῶν ἐμοὶ πεπραγμένων ἄξιον σκέψασθαι. ἐγὼ γὰρ τοιοῦτον ἐμαυτὸν ἐν ταῖς τῆς πόλεως συμφοραῖς παρέσχον, ὥστε, εἰ πάντες τὴν αὐτὴν γνώμην ἔσχον ἐμοί, μηδένα ἂν ὑμῶν μηδεμιᾷ κεχρῆσθαι συμφορᾷ. ὑπ' ἐμοῦ γὰρ ἐν τῇ ὀλιγαρχίᾳ οὔτε ἀπαθὴς οὐδεὶς φανήσεται, οὔτε τῶν ἐχθρῶν οὐδεὶς τετιμωρημένος, οὔτε τῶν φίλων εὖ πεπονθώς. καὶ τοῦτο μὲν οὐκ ἄξιον θαυμάζειν. εὖ μὲν γὰρ ποιεῖν ἐν ἐκείνῳ τῷ χρόνῳ χαλεπὸν ἦν, ἁμαρτάνειν δὲ τῷ βουλομένῳ ῥᾴδιον. οὐ τοίνυν οὐδ' εἰς τὸν κατάλογον Ἀθηναίων καταλέξας οὐδένα φανήσομαι, οὐδὲ δίαιταν καταδιαιτησάμενος οὐδενός, οὐδὲ πλουσιώτερος ἐκ τῶν ὑμετέρων γεγονὼς συμφορῶν. καίτοι εἰ τοῖς τῶν ἐγγενημένων κακῶν αἰτίοις ὀργίζεσθε, εἰκὸς καὶ τοὺς μηδὲν ἡμαρτηκότας βελτίους ὑφ' ὑμῶν νομίζεσθαι. καὶ μὲν δή, ὦ ἄνδρες δικασταί, μεγίστην ἡγοῦμαι περὶ ἐμαυτοῦ τῇ δημοκρατίᾳ πίστιν δεδωκέναι. ὅστις γὰρ τότε οὐδὲν ἐξήμαρτον, οὕτω πολλῆς δεδομένης ἐξουσίας, ἦπου νῦν σφόδρα προθυμηθήσομαι χρηστὸς εἶναι· εὖ εἰδὼς, ὅτι, ἐὰν ἀδικῶ, παραχρῆμα δώσω δίκην. ἀλλὰ γὰρ τοιαύτην διὰ τέλους γνώμην ἔχω, ὥστε ἐν ὀλιγαρχίᾳ μὲν μὴ ἐπιθυμεῖν τῶν ἀλλοτρίων, ἐν δημοκρατίᾳ δὲ τὰ ὄντα προθύμως εἰς ὑμᾶς

ἀναλίσκειν. ἡγοῦμαι δὲ, ὦ ἄνδρες δικασταὶ, οὐδ' ἂν δικαίως ὑμᾶς μισεῖν τοὺς ἐν τῇ ὀλιγαρχίᾳ μηδὲν πονηρότας κακὸν, ἐξὸν ὀργίζεσθαι τοῖς εἰς τὸ πλῆθος ἐξημαρτηκόσιν· οὐδὲ τοὺς μὴ φυγόντας ἐχθροὺς νομίζειν, ἀλλὰ τοὺς ὑμᾶς ἐκβαλόντας· οὐδὲ τοὺς προθυμουμένους τὰ ἑαυτῶν σῶσαι, ἀλλὰ τοὺς τὰ τῶν ἄλλων ἀφῃρημένους· οὐδὲ οἳ τῆς σφετέρας αὐτῶν σωτηρίας ἕνεκα ἔμειναν ἐν τῷ ἄστει, ἀλλ' εἴ τινες ἑτέρους ἀπολέσαι βουλόμενοι, μετέσχον τῶν πραγμάτων. εἰ δὲ οἴεσθε χρῆναι, οὓς ἐκεῖνοι παρέλιπον, ἀδικοῦντες ὑμεῖς ἀπολέσαι, οὐδεὶς τῶν πολιτῶν ἀπολειφθήσεται. σκοπεῖν δὲ χρὴ καὶ ἐκ τῶνδε, ὦ ἄνδρες δικασταί· πάντας γὰρ ἐπίστασθε, ὅτι ἐν τῇ προτέρᾳ δημοκρατίᾳ τῶν τὰ τῆς πόλεως πραττόντων πολλοὶ μὲν τὰ δημόσια ἔκλεπτον· ἔνιοι δ' ἐπὶ τοῖς ὑμετέροις ἐδημοδόκουν· οἱ δὲ, συκοφαντοῦντες τοὺς συμμάχους ἀφίστασαν. καὶ εἰ μὲν οἱ τριάκοντα τούτους μόνους ἐτιμωροῦντο, ἄνδρας ἀγαθοὺς καὶ ὑμεῖς ἂν αὐτοὺς ἡγεῖσθε· νῦν δὲ, ὅτι ὑπὲρ τῶν ἐκείνοις ἡμαρτημένων τὸ πλῆθος κακῶς ποιεῖν ἠξίουν, ἠγανακτεῖτε ἡγούμενοι δεινὸν εἶναι τὰ τῶν ὀλίγων ἀδικήματα πάσῃ τῇ πόλει κοινὰ γίνεσθαι. οὐ τοίνυν ἄξιον χρῆσθαι τούτοις, οἷς ἐκείνους ἐωρᾶτε ἐξαμαρτάνοντας· οὐδὲ ἃ πάσχοντες, ἄδικα ἐνομίζετε πάσχειν, ὅταν ἑτέρους ποιῆτε, δίκαια ἡγεῖσθε· ἀλλὰ τὴν αὐτὴν κατελθόντες περὶ αὐτῶν γνώμην ἔχετε, ἥνπερ φεύγοντες περὶ ὑμῶν αὐτῶν εἴχετε. ἐκ τούτων γὰρ καὶ ὁμόνοιαν πλείστην ποιήσετε, καὶ ἡ πόλις ἔσται μεγίστη, καὶ τοῖς ἐχθροῖς ἀνιαρώτατα ψηφιεῖσθαι. ἐνθυμηθῆναι δὲ χρὴ, ὦ ἐ

ὄρες δικασταὶ, καὶ τῶν ἐπὶ τῶν τριάκοντα γεγενημένων, ἵνα τὰ τῶν ἐχθρῶν ἁμαρτήματα ἄμεινον ὑμᾶς ποιήσῃ περὶ τῶν ὑμετέρων αὐτῶν βουλεύσασθαι. ὅτε μὲν γὰρ ἀκούοιτε τοὺς ἐν ἄστει τὴν αὐτὴν γνώμην ἔχειν, μικρὰς ἐλπίδας εἴχετε τῆς καθόδου, ἡγούμενοι τὴν ἡμετέραν ὁμόνοιαν μέγιστον κακὸν εἶναι τῇ ὑμετέρᾳ φυγῇ· ἐπειδὴ δὲ πυνθάνοισθε τοὺς μὲν τρισχιλίους στασιάζοντας ἐκ τοῦ ἄστεος, τοὺς ἄλλους δὲ πολίτας ἐκκεκηρυγμένους, τοὺς δὲ τριάκοντα μὴ τὴν αὐτὴν γνώμην ἔχοντας, πλείους δ' ὄντας τοὺς ὑπὲρ ὑμῶν δεδιότας, ἢ τοὺς ὑμῖν πολεμοῦντας, τότ' ἤδη καὶ κατιέναι προσεδοκᾶτε, καὶ παρὰ τῶν ἐχθρῶν λήψεσθαι δίκην. ταῦτα γὰρ τοῖς θεοῖς εὔχεσθε, ἅπερ ἐκείνους ἑωρᾶτε ποιοῦντας, ἡγούμενοι διὰ τὴν τῶν τριάκοντα πονηρίαν πολὺ μᾶλλον σωθήσεσθαι, ἢ διὰ τὴν τῶν φευγόντων δύναμιν κατιέναι. χρὴ τοίνυν, ὦ ἄνδρες δικασταὶ, τοῖς πρότερον γεγενημένοις παραδείγμασι χρωμένους, βουλεύεσθαι περὶ τῶν μελλόντων ἔσεσθαι· καὶ τούτους ἡγεῖσθαι δημοτικωτάτους, οἵτινες ὁμονοεῖν ὑμᾶς βουλόμενοι, τοῖς ὅρκοις καὶ ταῖς συνθήκαις ἐμμένουσι, νομίζοντες καὶ τῆς πόλεως ταύτην ἱκανωτάτην εἶναι σωτηρίαν, καὶ τῶν ἐχθρῶν μεγίστην τιμωρίαν. οὐδὲν γὰρ ἂν εἴη αὐτοῖς χαλεπώτερον τούτων, ἢ πυνθάνεσθαι μὲν ἡμᾶς μετέχοντας τῶν πραγμάτων, αἰσθάνεσθαι δὲ οὕτω διακειμένους τοὺς πολίτας, ὥσπερ μηδενὸς ἐγκλήματος πρὸς ἀλλήλους γεγενημένου. χρὴ δὲ εἰδέναι, ὦ ἄνδρες δικασταὶ, ὅτι οἱ φεύγοντες, τῶν ἄλλων πολιτῶν ὡς πλείστους καὶ διαβεβλῆσθαι καὶ ἠτιμῶσθαι βού-

λονται· ἐλπίζοντες τοὺς ὑφ᾽ ὑμῶν ἀδικουμένου
τοῖς ἔσεσθαι συμμάχους· τοὺς δὲ συκοφάντα
κιμεῖν δέξαιντ᾽ ἂν παρ᾽ ὑμῖν καὶ μέγα δύνασ
τῇ πόλει. τὴν γὰρ τούτων πονηρίαν, ἑαυτῶν
ται σωτηρίαν. ἄξιον δὲ μνησθῆναι τῶν μετὰ τ
τρακοσίους πραγμάτων. εὖ γὰρ εἰσεσθε, ὅτι,
οὗτοι συμβουλεύουσιν, οὐδεπώποτε ὑμῖν ἐλυ
σεν· ἃ δ᾽ ἐγὼ παραινῶ, ἀμφοτέραις ἀεὶ ταῦ
τείαις συμφέρει. ἴστε γὰρ Ἐπιγένην καὶ Διοφα
Κλεισθένην, ἰδίᾳ μὲν καρπωσαμένους τὰς τῆς
συμφορὰς, δημοσίᾳ δὲ ὄντας μεγίστων κακῶν α
ἐνίων μὲν γὰρ ἔπεισαν ὑμᾶς ἀκρίτων θάνατον
ψηφίσασθαι, πολλῶν δὲ ἀδίκως δημεῦσαι τὰς
τοὺς δ᾽ ἐξελάσαι καὶ ἀτιμῶσαι τῶν πολιτῶν.
τοι γὰρ ἦσαν, ὥστε τοὺς μὲν ἡμαρτηκότας ἀφ
λαμβάνοντες ἀφιέναι, τοὺς δὲ μηδὲν ἠδικηκό
ὑμᾶς εἰσιόντες ἀπολλύναι. καὶ οὐ πρότερον
σαντο, ἕως τὴν μὲν πόλιν εἰς στάσεις καὶ τὰς μ
συμφορὰς κατέστησαν, αὐτοὶ δ᾽ ἐκ πενήτων πλ
ἐγένοντο. ὑμεῖς δὲ οὕτω διετέθητε· τοὺς μὲν φ
τας κατεδέξασθε, τοὺς δ᾽ ἀτίμους ἐπετίμους
σατε· τοῖς δ᾽ ἄλλοις περὶ δμονοίας ὅρκους ὤ
τελευτῶντες δὲ, ἥδιον ἂν τοὺς ἐν τῇ δημοκρατ
κοφαντοῦντας ἐτιμωρήσασθε, ἢ τοὺς ἄρξαντα
ὀλιγαρχίᾳ. καὶ εἰκότως, ὦ ἄνδρες δικασταί. πᾶ
ἤδη φανερόν ἐστιν, ὅτι διὰ τοὺς μὲν ἀδίκως πε
ομένους ἐν τῇ ὀλιγαρχίᾳ δημοκρατία γίνεται,
τοὺς ἐν τῇ δημοκρατίᾳ συκοφαντοῦντας ὀλι
δὶς κατέστη. ὥστε οὐκ ἄξιον τούτοις πολλάκ

σθαι συμβούλοις, οἷς οὐδὲ ἅπαξ ἐλυσιτέλησε πειθομένοις. σκέψασθαι δὲ χρὴ, ὅτι καὶ τῶν ἐκ Πειραιῶς οἱ μεγίστην δόξαν ἔχοντες, καὶ μάλιστα κεκινδυνευκότες, καὶ πλεῖστα ὑμᾶς ἀγαθὰ εἰργασμένοι, πολλάκις ἤδη τῷ ὑμετέρῳ πλήθει διεκελεύσαντο τοῖς ὅρκοις καὶ ταῖς συνθήκαις ἐμμένειν, ἡγούμενοι ταύτην δημοκρατίας εἶναι φυλακήν. τοῖς μὲν γὰρ ἐξ ἄστεος ὑπὲρ τῶν παρεληλυθότων ἄδειαν ποιήσειν, τοῖς δ' ἐκ Πειραιῶς οὕτω πλεῖστον χρόνον τὴν πολιτείαν παραμεῖναι. οἷς ὑμεῖς πολὺ ἂν δικαιότερον πιστεύοιτε, ἢ τούτοις, οἳ φεύγοντες μὲν δι' ἑτέρους ἐσώθησαν, κατελθόντες δὲ συκοφαντεῖν ἐπιχειροῦσιν. ἡγοῦμαι δὲ, ὦ ἄνδρες δικασταὶ, τοὺς μὲν τὴν αὐτὴν γνώμην ἔχοντας ἐμοὶ τῶν ἐν ἄστει μεινάντων φανεροὺς γεγενῆσθαι καὶ ἐν ὀλιγαρχίᾳ καὶ ἐν δημοκρατίᾳ, ἀποίοί τινες εἰσὶ πολῖται. τούτων δ' ἄξιον θαυμάζειν, ὅ, τι ἂν ἐποίησαν, εἴ τις αὐτοὺς εἴασε τῶν τριάκοντα γενέσθαι, οἳ νῦν δημοκρατίας οὔσης ταὐτὰ ἐκείνοις πράττουσι καὶ ταχέως μὲν ἐκ πενήτων πλούσιοι γεγένηνται, πολλὰς δὲ ἀρχὰς ἄρχοντες, οὐδεμιᾶς εὐθύνην διδόασιν· ἀλλ' ἀντὶ μὲν ὁμονοίας ὑποψίαν πρὸς ἀλλήλους πεποιήκασιν, ἀντὶ δὲ εἰρήνης πόλεμον κατηγγέλκασι. διὰ τούτους δὲ ἄπιστοι τοῖς Ἕλλησι γεγενήμεθα. καὶ τοσούτων κακῶν καὶ ἑτέρων πολλῶν ὄντες αἴτιοι, καὶ οὐδὲν διαφέροντες τῶν τριάκοντα, (πλὴν ὅτι ἐκεῖνοι μὲν ὀλιγαρχίας οὔσης ἐπεθύμουν ὥσπερ οὗτοι, οὗτοι δὲ καὶ δημοκρατίας τῶν αὐτῶν ὥνπερ ἐκεῖνοι) ὅμως οἴονται χρῆναι οὕτω ῥᾳδίως ὃν ἂν βούλωνται κακῶς ποιεῖν· ὥσπερ τῶν μὲν ἄλλων ἀδικούντων, ἄριστοι δὲ

ἄνδρες αὐτοὶ γεγενημένοι. καὶ τούτων μὲν οὐκ ἄξι
θαυμάζειν, ὑμῶν δὲ, ὅτι οἴεσθε μὲν δημοκρατίαν
ναι, γίγνεται δὲ ὅ, τι ἂν οὗτοι βούλωνται· καὶ δία
διδόασιν οὐχ οἱ τὸ ὑμέτερον πλῆθος ἀδικοῦντες, ἀ
οἱ τὰ σφέτερα αὐτῶν μὴ διδόντες· καὶ δέξαιντ'
μικρὰν εἶναι τὴν πόλιν μᾶλλον, ἢ δι' ἄλλους μεγάλ
καὶ ἐλευθέραν· ἡγούμενοι νῦν μὲν διὰ τοὺς ἐκ Π
ραιῶς κινδύνους αὐτοῖς ἐξεῖναι ποιεῖν ὅ, τι ἂν βο
λωνται. ἐὰν δ' ὕστερον ὑμῖν δι' ἑτέρων σωτηρία
νηται, τούτους μὲν ἐπιλύσεσθαι, ἐκείνους δὲ μὴ
δυνήσεσθαι. ὥστε τὸ αὐτὸ πάντες ἐμποδὼν εἶσ
ἐάν τι δι' ἄλλων ἀγαθὸν ὑμῖν φαίνηται. τούτων μ
οὖν οὐ χαλεπὸν τῷ βουλομένῳ κατηγορῆσαι. αὖ
τε γὰρ οὐκ ἐπιθυμοῦσι λανθάνειν, ἀλλ' αἰσχύνον
μὴ δοκοῦντες εἶναι πονηροί. ὑμεῖς τε τὰ μὲν αὐ
ὁρᾶτε, τὰ δ' ἑτέρων πολλῶν ἀκούετε. ἡμεῖς δὲ, ὧ ἄ
δρες δικασταὶ, δίκαιον μὲν ἡγούμεθ' εἶναι πρὸς πά
τας ὑμᾶς τοὺς πολίτας ταῖς συνθήκαις καὶ τοῖς ἐ
κοις ἐμμένειν· ὅμως δὲ, ὅταν μὲν ἴδωμεν τοὺς τ
κακῶν αἰτίους δίκην διδόντας, τῶν τότε περὶ ἡμ
γεγενημένων μεμνημένοι, συγγνώμην ἔχομεν· ὅταν
φανεροὶ γένησθε τοὺς μηδὲν αἰτίους ἐξίσου τοῖς ἀ
κοῦσι τιμωρούμενοι, τῇ αὐτῇ ψήφῳ πάντας εἰς**

ΛΥΣΙΟΥ

ΠΕΡΙ ΤΗΣ ΕΥΑΝΔΡΟΥ ΔΟΚΙΜΑΣΙΑΣ.

* * * ἡγούμενος ἀκριβῆ νῦν τὴν δοκιμασίαν αὐτοὺς διὰ χρόνου ποιήσασθαι. ἐπεὶ σύνοισθα πολλὰ καὶ δεινὰ εἰς αὐτοὺς ἐξημαρτηκώς, ὧν ἐπιλελῆσθαι καὶ οὐδ' ἀναμνησθήσεσθαι ἐνίους αὐτῶν νομίζεις. ὃ δὴ ἀγωνιῶ καὶ ἀγανακτῶ, εἰ ταύτῃ τῇ ἐλπίδι εἰς ὑμᾶς ἥκει πιστεύων· ὥσπερ ἄλλων μὲν τινῶν ὄντων τῶν ἠδικημένων, ἑτέρων δὲ τῶν ταῦτα διαψηφιουμένων, ἀλλ' οὐκ ἀμφότερα τῶν αὐτῶν καὶ πεπονθότων καὶ ἀκουσομένων. αἴτιοι δὲ τούτων ὑμεῖς ἐστέ. οὐ γὰρ ἐνθυμεῖσθε, ὅτι οὗτοι μὲν, ὅτε ἡ πόλις ὑπὸ τῶν Λακεδαιμονίων ἤρχετο, οὐδὲ τῆς αὐτῆς δουλείας ἡμῖν μεταδοῦναι ἠξίωσαν, ἀλλὰ καὶ τῆς πόλεως ἐξήλασαν· ὑμεῖς δὲ ἐλευθέραν αὐτὴν ποιήσαντες, οὐ μόνον τῆς ἐλευθερίας αὐτοῖς, ἀλλὰ καὶ τοῦ δικάζειν καὶ τοῦ ἐκκλησιάζειν περὶ τῶν κοινῶν μετέδοτε. ὥστε εἰκότως ὑμῶν ταύτην τὴν εὐήθειαν οὗτοι καταγινώσκουσιν. ὧν εἷς οὗτος ὢν οὐκ ἀγαπᾷ, εἴ τις αὐτὸν ἐᾷ τούτων μετέχειν, ἀλλὰ καὶ πρὶν ἐκείνων δοῦναι δίκην, πάλιν ἄρχειν ἀξιοῖ. καὶ νυνὶ αὐτὸν ἀκούομεν, ὑπὲρ ὧν αὐτοῦ κατηγοροῦμεν, διὰ βρα-

χέων ἀπολογήσεσθαι, ἐπισύροντα τὰ πρ
καὶ διακλέπτοντα τῇ ἀπολογίᾳ τὴν κατηγορ
ξειν δὲ, ὡς πολλὰ εἰς τὴν πόλιν ἀνηλώκασι, κ
τίμως λελειτουργήκασι, καὶ νίκας πολλὰς κ
ἐν δημοκρατίᾳ νενικήκασι. καὶ ὅτι αὐτὸς
ἐστι, καὶ οὐχ ὁρᾶτε ποιῶν ἃ ἕτεροι ἐντα
μῶσιν, ἀλλὰ τὰ ἑαυτοῦ πράττειν ἀξιοῖ. ἐγὼ
τούτους τοὺς λόγους οὐ χαλεπὸν οἶμαι ἀ
πρὸς μὲν τὰς λειτουργίας, ὅτι κρείττων ἦν
αὐτοῦ μὴ λειτουργήσας, ἢ τοσαῦτα τῶν δαν
λώσας. διὰ γὰρ ταῦτα πιστευθεὶς ὑπὸ το
κατέλυσε τὴν δημοκρατίαν. ὥστ' εἶναι ταῦτ
γα ἀειμνηστότερα, ἢ τὰ ἐκ τῶν λειτουργιῶ
ἀναθήματα. πρὸς δὲ τὴν ἡσυχιότητα τὴν
ὅτι οὐ νῦν δεῖ αὐτὸν ἐξετάζειν, εἰ σώφρων ἐ
αὐτὸν οὐκ ἔξεστιν ἀσελγαίνειν· ἀλλ' ἐκεῖνον
νον σκοπεῖν, ἐν ᾧ ἐξὸν ὁπωτέρως ἐβούλετο
λετο παρανόμως πολιτευθῆναι. τοῦ μὲν
μηδὲν ἐξαμαρτάνειν οἱ κωλύσαντες αἴτιοι·
τότε γενομένων, ὁ τούτου τρόπος, καὶ οἱ τ
τρέπειν ἀξιοῦντες. ὥστε ἂν ἐκ τούτων δοκι
ἀξιοῖ, ταῦτα χρὴ ὑπολαμβάνειν, μὴ εὐήθ
εἶναι δοκῆτε. ἂν δὲ καὶ ἐπὶ τοιόνδε λόγον
ται, ὡς ὁ χρόνος οὐκ ἐγχωρεῖ ἄλλον ἀποκ
ἀλλὰ ἀνάγκη, ἐὰν αὐτὸν ἀποδοκιμάσητε, ὁ
πάτρια ἱερὰ γίγνεσθαι· τἀδ' ἐνθυμήθητε,
λαι ὁ χρόνος ἤδη παρελήλυθεν. ἡ γὰρ αὖρ
ρα μόνη λοιπὴ τοῦ ἐνιαυτοῦ ἐστιν, ἐν δὲ τ
Διὶ τῷ σωτῆρι θυσία γίγνεται· δικαστήρι

ρὰ τοὺς νόμους ἀδύνατον πληρωθῆναι. εἰ δὲ ταῦτα πάνθ' οὕτως ἔστε γενέσθαι διαπέπρακται, τί προσδοκῆσαι δεῖ δοκιμασθέντ' αὐτὸν ποιήσειν, εἰ τὴν ἐξιοῦσαν ἀρχὴν πέπεικεν αὐτοῦ οὕνεκα παρανομῆσαι; ἆρ' ἂν ὀλίγα τοιαῦτα ἐν τῷ ἐνιαυτῷ διαπράξασθαι; ἐγὼ μὲν γὰρ οὐκ ἂν οἶμαι. ἔστι δ' ὑμῖν οὐ τοῦτο μόνον σκεπτέον, ἀλλὰ καὶ πότερον εὐσεβέστερον, τὸν βασιλέα καὶ τοὺς συνάρχοντας τὰ ὑπὲρ τοῦ μέλλοντος ἄρξειν ἱερὰ θῦσαι, ὡς καὶ πρότερον ἤδη γεγένηται· ἢ καὶ τοῦτον, ὃν οὐδὲ καθαρὸν εἶναι τὰς χεῖρας οἱ εἰδότες μεμαρτυρήκασι. καὶ πότερον ὑμεῖς ὠμόσατε εἰς τὴν ἀρχὴν ἀδοκίμαστον καταστήσειν, ἢ δοκιμάσαντες τὸν ἄξιον τῆς ἀρχῆς στεφανώσειν. ταῦτα γὰρ σκοπεῖσθε· κἀκεῖνο ἐνθυμεῖσθε, ὅτι ὁ Θεὶς τὸν περὶ τῶν δοκιμασιῶν νόμον, οὐχ ἥκιστα περὶ τῶν ἐν ὀλιγαρχίᾳ ἀρξάντων ἕνεκεν ἔθηκεν· ἡγούμενος δεινὸν εἶναι, εἰ δι' οὓς ἡ δημοκρατία κατελύετο, οὗτοι ἐν αὐτῇ τῇ πολιτείᾳ πάλιν ἄρξουσι, καὶ κύριοι γενήσονται τῶν νόμων καὶ τῆς πόλεως, ἣν πρότερον προλαβόντες, οὕτως αἰσχρῶς καὶ δεινῶς ἐλωβήσαντο. ὥστ' οὐκ ἄξιον τῆς δοκιμασίας ὀλιγώρως ἔχειν, οὐδὲ, μικρὸν ἡγουμένους τὸ πρᾶγμα, μὴ φροντίζειν αὐτῆς, ἀλλὰ φυλάττειν· ὡς ἐν τῷ ἑκάστου δικαίως ἄρχειν ἥ τε πολιτεία καὶ τὸ ἄλλο πλῆθος τὸ ὑμέτερον σώζεται. εἰ μὲν βουλεύσων νυνὶ ἐδοκιμάζετο, καὶ ὡς ἱππευκότος αὐτοῦ ἐπὶ τῶν τριάκοντα ἅρμα ἐν ταῖς σανίσιν ἐνεγέγραπτο, καὶ ἄνευ κατηγόρου ἂν αὐτὸν ἀπεδοκιμάζετε· νῦν δὲ, ὅτε μὴ μόνον ἱππευκὼς, μηδὲ βεβουλευκὼς, ἀλλὰ καὶ εἰς

τὸ πλῆθος ἐξημαρτηκὼς φαίνεται, οὐκ ἂν ἄτοπον ποιήσαιτε, εἰ μὴ τὴν αὐτὴν γνώμην ἔχοντες περὶ αὐτοῦ φανοῖσθε. καὶ μὲν δὴ βουλεύειν γε δοκιμασθεὶς, πεντακοσιοστὸς ὢν, μετὰ τῶν ἄλλων ἐνιαυτὸν ἂν μόνον ἐβούλευσεν ἄν. ὥστε καὶ εἴ τι ἐν τούτῳ τῷ χρόνῳ ἐξαμαρτάνειν ἐβούλετο, ῥᾳδίως ἂν ὑπὸ τῶν ἄλλων ἐκωλύετο. ταύτης δὲ τῆς ἀρχῆς ἀξιοῖ μόνος αὐτὸς καθ' αὑτὸν ἄρχειν, καὶ μετὰ τῆς ἐν Ἀρείῳ πάγῳ βουλῆς τὸν ἅπαντα χρόνον τῶν μεγίστων κύριος γενέσθαι· ὥστε ὑμῖν καθήκειν περὶ ταύτης τῆς ἀρχῆς ἀκριβεστέραν τὴν δοκιμασίαν, ἢ περὶ τῶν ἄλλων ἀρχῶν ποιεῖσθαι. εἰ δὲ μή, πῶς οἴεσθε τὸ ἄλλο πλῆθος τῶν πολιτῶν διακείσεσθαι, ὅταν αἴσθωνται, ὃν προσῆκε δίκας τῶν ἡμαρτημένων διδόναι, τοῦτον ὑφ' ὑμῶν τοιαύτης ἀρχῆς ἠξιωμένον; καὶ φόνου δίκας δικάζοντα, ὃν ἔδει αὐτὸν ὑπὸ τῆς ἐν Ἀρείῳ πάγῳ βουλῆς κρίνεσθαι; καὶ πρὸς τούτοις ἴδωσιν ἐστεφανωμένον, καὶ ἐπικλήρων καὶ ὀρφανῶν κύριον γεγενημένον, ὧν ἐνίοις αὐτὸς, ὢν τοιοῦτος, τῆς ὀρφανίας αἴτιος γεγένηται; ἆρ' οὐκ οἴεσθε αὐτοὺς χαλεπῶς διακείσεσθαι, καὶ ὑμᾶς αὐτῶν αἰτίους ἡγήσεσθαι, ὅταν γένωνται ἐν ἐκείνοις τοῖς χρόνοις, ἐν οἷς αὐτῶν πολλοὶ εἰς τὸ δεσμωτήριον ἀπήγοντο, καὶ ἄκριτοι ὑπὸ τούτων ἀπώλλυντο, καὶ φεύγειν τὴν σφετέραν αὐτῶν ἠναγκάζοντο; κἀκεῖνο προσενθυμηθῶσιν, ὅτι ὁ αὐτὸς οὗτος ἀνὴρ Θρασύβουλος αἴτιος γεγένηται Λαοδάμαντά τε ἀποδοκιμασθῆναι, καὶ τοῦτον δοκιμασθῆναι· τοῦ μὲν κατήγορος γενόμενος, ὑπὲρ τούτου δὲ ἀπολογήσασθαι παρασκευ-

ασιάμενος, ὅπως πρὸς τὴν πόλιν διακεῖσθαι· καὶ πόσων αἴτιος αὐτῇ κακῶν γεγένηται, ἢ πειθόμενοι πῶς ἂν οἴεσθε διαβληθῆναι; ὅτε μὲν γὰρ ὑμᾶς ὤμοσε ὀργισθέντας Λαοδάμαντα ἀποδοκιμάσητε· ἐὰν δὲ αὐτὸν δοκιμάσητε, εὖ εἴσονται, ὅτι οὐ δικαίᾳ γνώμῃ περὶ αὐτοῦ κέχρησθε. ἔστι δὲ τούτοις μὲν πρὸς ὑμᾶς ἀγών, ὑμῖν δὲ πρὸς ἅπασαν τὴν πόλιν, ἣ σκοπεῖ νυνὶ, τίνα ὑμεῖς γνώμην περὶ αὐτῆς ἔχετε. καὶ μηδεὶς ὑμῶν ἡγείσθω με Λαοδάμαντι χαριζόμενον κατηγορεῖν Εὐάνδρου, ὅτι φίλος ὢν τυγχάνει, ἀλλ' ὑπὲρ ὑμῶν καὶ τῆς πόλεως προνοούμενον. ῥᾴδιον δ' ἐξ αὐτοῦ τοῦ πράγματος μαθεῖν. Λαοδάμαντι γὰρ συμφέρει τοῦτον δοκιμασθῆναι, (οὕτω γὰρ ὑμεῖς μάλιστα διαβληθήσεσθε, καὶ δόξετε ἀντὶ δημοτικῶν ἀνθρώπων ὀλιγαρχικοὺς εἰς τὰς ἀρχὰς καθιστάνειν) ὑμῖν δὲ, τόνδε ἀποδοκιμάσαι. δόξετε γὰρ κἀκεῖνον δικαίως ἂν ἀποδοκιμάσαι· ἐὰν δὲ μηδὲ τόνδε, οὐδ' ἐκεῖνον δικαίως. καίτοιγε αὐτὸν ἀκούω λέξειν, ὡς οὐ περὶ αὐτοῦ μόνον ἡ δοκιμασία ἐστὶν, ἀλλὰ περὶ πάντων τῶν ἐν ἄστει μεινάντων· καὶ τοὺς ὅρκους καὶ τὰς συνθήκας ὑμᾶς ὑπομνήσειν, ὡς ἐκ τούτων προσληψόμενον αὐτὸν δοκιμαστὰς τοὺς ἐν ἄστει μείναντας. ἐγὼ δ' ὑπὲρ τοῦ πλήθους βραχέα πρὸς αὐτὸν εἰπεῖν βούλομαι· ὅτι ὁ δῆμος οὐ τὴν αὐτὴν γνώμην ἔχει περὶ πάντων τῶν ἐν ἄστει μεινάντων, ἀλλὰ περὶ μὲν τῶν τοιαῦτα ἐξαμαρτανόντων, οἵαν ἐγώ φημι δεῖν, περὶ δὲ τῶν ἄλλων τὴν ἐναντίαν. τεκμήριον δέ· οὐ γὰρ ἐλάττους τούτων ἡ πόλις τετίμηκε τῶν ἐπὶ Φυλὴν ἐλθόντων,

καὶ τὸν Πειραιῆ καταλαβόντων. εἰκότως. τοὺς μὲν γὰρ ἴσασιν ὁποῖοί τινες ἐν δημοκρατίᾳ μόνῃ γεγένηνται, ὁποῖοι δ' ἂν τινες ἐν ὀλιγαρχίᾳ γένοιντο, οὔπω πεῖραν εἰλήφασι· παρὰ δὲ τούτων ἑκατέρας τῆς πολιτείας ἱκανὴν βάσανον ἔχουσιν, ὥστ' εἰκότως πιστεύειν. καὶ ἡγοῦνταί γε, διὰ μὲν τοὺς τοιούτους τοὺς συλληφθέντας τότε ἀποθανεῖν, διὰ δὲ τοὺς ἄλλους τοὺς συλληφθέντας ἐκφεύγειν. ἐπεὶ εἴ γε τὴν αὐτὴν γνώμην ἅπαντες ἔσχον, οὔτ' ἂν φυγὴ, οὔτ' ἂν κάθοδος, οὔτ' ἄλλο οὐδὲν ἂν τῶν γεγενημένων τῇ πόλει συνέβη. ἀλλὰ, καίτοι ἄλογον δοκεῖ εἶναι παρά τισιν, ὅπως ποτὲ πολλοὶ ὄντες ὑπ' ὀλίγων τῶν ἐν Πειραιεῖ ἡττήθησαν, οὐδαμόθεν ἄλλοθεν ἢ ἐκ τῆς τούτων προνοίας γεγένηται. οὗτοι γὰρ εἵλαντο μετὰ τῶν κατελθόντων πολιτεύεσθαι μᾶλλον, ἢ μετὰ τῶν τριάκοντα Λακεδαιμονίοις δουλεύειν. τοιγάρτοι ἀντὶ τούτων αὐτοὺς ὁ δῆμος ταῖς μεγίσταις τιμαῖς τετίμηκεν, ἱππαρχεῖν καὶ στρατηγεῖν καὶ πρεσβεύειν ὑπὲρ αὐτὸν αἱρούμενος· καὶ οὐδέποτε αὐτοῖς μετεμέλησε. καὶ διὰ μέν γε τοὺς πολλοὺς ἐξαμαρτόντας, τὰς δοκιμασίας εἶναι ἐψηφίσαντο· διὰ δὲ τοὺς μηδὲν τοιοῦτον πράξαντας, τὰς συνθήκας ἐποιήσαντο τοιαύτας, οἵας ἐγὼ ὑπὲρ τοῦ δήμου ἀποκρίνομαι. ὑμέτερον δὴ ἔργον ἐστὶν, ὦ ἄνδρες βουλευταὶ, σκέψασθαι, ποτέρῳ ἂν πειθόμενοι περὶ τῆς δοκιμασίας ταύτης ἄμεινον βουλεύσαισθε· πότερον ἐμοὶ, ἢ Θρασυβούλῳ, ὃς αὐτῷ ἀπολογήσεται. περὶ μὲν οὖν ἐμοῦ, ἢ τοῦ πατρὸς, ἢ τῶν προγόνων, οὐδὲν οὗτος εἰπεῖν ἔξει εἰς μισοδημίαν. οὔτε γὰρ, ὃς

ὀλιγαρχίας μετέσχον (ὕστερον γὰρ τῶν χρόνων τούτων ἀνὴρ εἶναι ἐδοκιμάσθην) οὔθ' ὡς ὁ πατὴρ· πρὸ γὰρ τῶν στάσεων πολὺ ἐν Σικελίᾳ ἄρχων ἐτελεύτησεν· οὔθ' ὡς οἱ πρόγονοι ὑπὸ τοῖς τυράννοις ἐγένοντο· στασιάζοντες γὰρ πρὸς αὐτοὺς τὸν ἅπαντα χρόνον διετέλεσαν. ἀλλὰ μὲν δὴ οὐδὲ τὴν οὐσίαν ἡμᾶς ἐν τῷ πολέμῳ φήσει κτήσασθαι, εἰς δὲ τὴν πόλιν οὐδὲν ἀνηλωκέναι. πᾶν γὰρ τοὐναντίον, ἐν εἰρήνῃ μὲν ὀγδοηκοντατάλαντος ἡμῶν ὁ οἶκος ἐγένετο, εἰς δὲ τὴν τῆς πόλεως σωτηρίαν ἐν τῷ πολέμῳ ἅπας ἀνηλώθη. ἐγὼ δὲ περὶ τούτου τρία ἔχω εἰπεῖν τηλικαῦτα τὸ μέγεθος, ὥστ' ἄξιον εἶναι ἕκαστον ἔργον θανάτου. πρῶτον μὲν, ὅτι τὴν ἐν Βοιωτοῖς πολιτείαν, χρήματα λαβών, μετέστησε, καὶ τῆς συμμαχίας ἡμᾶς ταύτης ἀπεστέρησεν· ἔπειτα, ὅτι τὰς ναῦς προὔδωκε, καὶ τὴν πόλιν περὶ σωτηρίας βουλεύεσθαι πεποίηκεν· ἔπειτα, ὅτι παρὰ τῶν αἰχμαλώτων, οὓς αὐτὸς ἀπώλεσε, τριάκοντα μνᾶς ἐσυκοφάντησεν· οὐ φάσκων αὐτοὺς λύσεσθαι, εἰ μὴ τοῦτο αὐτῷ παρὰ σφῶν αὐτῶν παράσχοιεν. συνειδότες οὖν ἡμῶν ἑκατέρων τὸν βίον, πρὸς ταῦτα βουλεύεσθε, ὁποτέρῳ χρὴ πιστεύειν περὶ τῆς Εὐάνδρου δοκιμασίας, καὶ οὕτως οὐκ ἐξαμαρτήσεσθε.

ΛΥΣΙΟΥ

ΚΑΤΑ ΕΠΙΚΡΑΤΟΥΣ ΚΑΙ ΤΩΝ ΣΥΜΠΡΕΣΒΕΥΤΩΝ ΕΠΙΛΟΓΟΣ.

Κατηγόρηται μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, Ἐπικράτους ἱκανὰ καὶ τῶν συμπρεσβευτῶν· ἐνθυμεῖσθαι δὲ χρὴ, ὅτι πολλάκις ἠκούσατε τούτων λεγόντων, ὁπότε βούλοιντο τινὰ ἀδίκως ἀπολέσαι, ὅτι, εἰ μὴ καταψηφιεῖσθε ὧν αὐτοὶ κελεύουσιν, ὑπολείψει ὑμᾶς ἡ μισθοφορά. καὶ νῦν οὐδὲν ἧττον τοσοῦτον ἐνδεῖ, ὥστε τὸ μὲν πλῆθος καὶ ἡ αἰσχύνη ἡ διὰ τούτων ἡμῖν γίγνεται, ἡ δ' ὠφέλεια τούτοις. πεπείρανται γὰρ, ὅτι, ὁπότε ἂν οὗτοι καὶ οἱ τούτων λόγοι δοκῶσιν αἴτιοι εἶναι ψηφιεῖσθαι ὑμᾶς παρὰ τὸ δίκαιον, ῥᾳδίως παρὰ τῶν ἀδικούντων χρήματα λαμβάνουσι. καίτοι τίνα χρὴ ἐλπίδα ἔχειν σωτηρίας, ὁπόταν ἐν χρήμασιν ᾖ καὶ σωθῆναι τῇ πόλει καὶ μή; ταῦτα δὲ οὗτοι, φύλακες ὑφ' ὑμῶν καταστάντες, οἱ τῶν ἀδικούντων κολασταὶ, κλέπτωσί τε καὶ καταδωροδοκῶσι; καὶ οὐ νῦν πρῶτον ὤφθησαν ἀδικοῦντες, ἀλλὰ καὶ πρότερον ἤδη δώρων ἐκρίθησαν. καὶ ὑμῖν ἔχω ἐπικαλέσαι, ὅτι τοῦ αὐτοῦ ἀδικήματος ὀνομάσαντος μὲν κατεψηφίσασθε, τούτου δὲ ἀπεψηφί-

σασθε, τοῦ ἀνδρὸς ἁπάντων κατηγορούντων, καὶ τῶν αὐτῶν καταμαρτυρούντων, οἳ οὐχ ἑτέρων ἤκουσαν, αὐτοὶ δὲ ἦσαν οἱ περὶ τῶν χρημάτων καὶ τῶν δώρων πρὸς τούτους πράττοντες. καίτοι τοῦτο ἅπαντες ἐπίστασθε, ὅτι οὐχ ὅταν τοὺς μὴ δυναμένους λέγειν κολάζητε, τότε ἔσται παράδειγμα τοῦ μὴ ὑμᾶς ἀδικεῖν, ἀλλ' ὁπόταν παρὰ τῶν δυναμένων δίκην λαμβάνητε, τότε πάντες παύσονται ἐπιχειροῦντες εἰς ὑμᾶς ἐξαμαρτάνειν. νῦν δ' ἀσφαλῶς αὐτοῖς ἔχει τὰ ὑμέτερα κλέπτειν. ἂν μὲν γὰρ λάθωσιν, ἀδεῶς αὐτοῖς ἔξουσι χρῆσθαι· ἂν δὲ ὀφθῶσιν, ἢ μέρει τῶν ἀδικημάτων τὸν κίνδυνον ἐξεπρίαντο, ἢ εἰς ἀγῶνα καταστάντες, τῇ αὐτῶν δυνάμει ἐσώθησαν· νῦν τοίνυν, ὦ ἄνδρες δικασταὶ, παράδειγμα ποιήσετε τοῖς ἄλλοις, δικαίοις εἶναι, παρὰ τούτων δίκην λαβόντες. ἤκουσι δὲ πάντες οἱ τὰ τῆς πόλεως πράττοντες, οὐχ ἡμῶν ἀκροασόμενοι, ἀλλ' ὑμᾶς εἰσόμενοι, ἥντινα γνώμην περὶ τῶν ἀδικούντων ἕξετε. ὥστ' εἰ μὲν ἀποψηφιεῖσθε τούτων, οὐδὲν δεινὸν δόξει αὐτοῖς εἶναι ὑμᾶς ἐξαπατήσαντας ἐκ τῶν ὑμετέρων ὠφελεῖσθαι· ἐὰν δὲ καταψηφισάμενοι, θανάτου τιμήσητε, τῇ αὐτῇ ψήφῳ τούς τε ἄλλους κοσμιωτέρους ποιήσετε, ἢ νῦν εἰσι, καὶ παρὰ τούτων δίκην εἰληφότες ἔσεσθε. ἡγοῦμαι δ', ὦ ἄνδρες Ἀθηναῖοι, οὐδ' εἰ μὴ προθέντες αὐτοὺς εἰς κρίσιν, ἢ ἀπολογουμένων μὴ ἐθελήσαντες ἀκοῦσαι, καταψηφισάμενοι, τῶν ἐσχάτων τιμήσαιτε, οὐκ ἂν ἀκρίτους αὐτοὺς ἀπολωλέναι, ἀλλὰ τὴν προσήκουσαν δίκην δεδωκέναι. οὐ γὰρ οὗτοι ἄκριτοί εἰσι, περὶ ὧν ἂν

ὑμεῖς, εἰδότες τὰ πραχθέντα, ψηφίσησθε, ἀλλ' εἴ τινες ἦν, ὑπὸ τῶν ἐχθρῶν διαβληθέντες περὶ ὧν ὑμεῖς μὴ ἴστε, ἀκροάσεως μὴ τύχωσι. τούτων δὲ τὰ μὲν πράγματα κατηγορεῖ, ἡμεῖς δὲ καταμαρτυροῦμεν. καὶ οὐ τοῦτο δέδοικα, ὡς, ἐὰν ἀκροᾶσθε αὐτῶν, ἀποψηφιεῖσθε· ἀλλ' οὐκ ἂν ἡγοῦμαι αὐτοὺς δίκην ἀξίαν δεδωκέναι, εἰ ἀκροασάμενοι αὐτῶν κατεψηφίσαισθε. πῶς γὰρ, ὦ ἄνδρες δικασταὶ, οἷς οὐδὲ ταὐτὰ καὶ ὑμῖν συμφέρει; οὗτοι μὲν γὰρ ἐν τῷ πολέμῳ ἐκ πενήτων πλούσιοι γεγόνασιν ἐκ τῶν ὑμετέρων· ὑμεῖς δὲ διὰ τούτους πένητες. καίτοι οἱ ταῦτα ἀγαθῶν δημαγωγῶν ἐστι, τὰ ὑμέτερα ἐν ταῖς ὑμετέραις συμφοραῖς λαμβάνειν, ἀλλὰ τὰ ἑαυτῶν ὑμῖν διδόναι. καὶ γάρτοι εἰς τοσοῦτον ἥκομεν, ὥσθ' οἳ πρότερον ἐν τῇ εἰρήνῃ οὐδὲ σφᾶς αὐτοὺς ἐδύναντο τρέφειν, νῦν ὑμῖν εἰσφορὰν εἰσφέρουσι καὶ χορηγοῦσι, καὶ οἰκίας μεγάλας οἰκοῦσι. καίτοι ἑτέροις ὑμῶν ἔστιν ὅτε τὰ πατρῷα κεκτημένοις ταῦτα ποιοῦσιν ἐφθονεῖτε. νῦν δ' οὕτως ἡ πόλις διάκειται, ὥστε οὐκέτι ὧν οὗτοι κλέπτουσιν ὀργίζεσθε, ἀλλ' ὧν αὐτοὶ λαμβάνετε χάριν ἴστε, ὥσπερ ὑμεῖς τὰ τούτων μισθοφοροῦντες, ἀλλ' οὐ τούτων τὰ ὑμέτερα κλεπτόντων. τὸ δὲ πάντων ὑπερφυέστατον, ὅτι ἐν μὲν τοῖς ἰδίοις ἀδικούμενοι δακρύουσι καὶ ἐλεεινοί εἰσιν, ἐν δὲ τοῖς δημοσίοις, οἱ μὲν ἀδικοῦντες, ἐλεεινοὶ, ὑμεῖς δ' οἱ ἀδικούμενοι, ἐλεεῖτε. καὶ νῦν ἴσως ποιήσουσιν ἅπερ καὶ πρότερον ἦσαν εἰθισμένοι, καὶ δημόται καὶ φίλοι, κλαίοντες ἐξαιτεῖσθαι αὐτοὺς παρ' ὑμῶν. ἐγὼ δ' οὕτως ἀξιῶ γενέσθαι· εἰ μὲν ἀ-

δικεῖν τούτους μηδὲν νομίζουσιν, ἀποδείξαντας ὡς ψευδῆ τὰ κατηγορημένα, οὕτω πείθειν ὑμᾶς ἀποψηφίσασθαι· εἰ δὲ νομίσαντες ἀδικεῖν αἰτήσονται, δῆλον, ὅτι τοῖς ἀδικοῦσιν εὐνούστεροί εἰσιν, ἢ ὑμῖν τοῖς ἀδικουμένοις· ὥστε οὐ χάριτος ἄξιοι τυχεῖν, ἀλλὰ τιμωρίας, ὁπόταν ὑμεῖς δύνησθε. ἔτι δὲ τοὺς αὐτοὺς ἡγεῖσθαι χρὴ καὶ τῶν κατηγόρων σφόδρα δεήσεσθαι, νομίζοντας πολὺ ἂν θᾶττον παρ' ἡμῶν ὀλίγων ὄντων ταύτην τὴν χάριν λαμβάνειν, ἢ παρ' ὑμῶν· ἔστι δὲ ῥᾷον ἄλλους τινὰς τὰ ὑμέτερα καταχαρίζεσθαι, ἢ ὑμᾶς αὐτούς γε. ἡμεῖς μὲν τοίνυν οὐκ ἠθελήσαμεν προδοῦναι, ἀξιοῦμεν δὲ μηδ' ὑμᾶς· ἐνθυμουμένους, ὅτι σφόδρ' ἂν ἡμῖν ὠργίζεσθε, καὶ ἐτιμωρεῖσθε, ὅπου παρεπίπτομεν, ὡς εἰκὸς, τοὺς ἀδικοῦντας, εἰ ἡμεῖς παρὰ τούτων ἢ χρήματα λαβόντες, ἢ ἄλλῳ τινὶ τρόπῳ διηλλάγημεν. καίτοι εἰ τοῖς μὴ δικαίως ἐπεξιοῦσιν ὀργίζεσθε, ὅπου σφόδρα χρὴ αὐτοὺς τοὺς ἀδικοῦντας τιμωρεῖσθαι. νῦν τοίνυν, ὦ ἄνδρες δικασταὶ, καταψηφισάμενοι Ἐπικράτους, τῶν ἐσχάτων τιμήσατε· καὶ μὴ, ὥσπερ ἐν τῷ τέως χρόνῳ εἰθισμένοι ἐστὲ, ἐπειδὴν καταψηφισάμενοι ἐξελέγξητε τοὺς ἀδικοῦντας, ἐν τῷ τιμήματι ἄζημίους ἀφίετε, ἔχθραν, οὐ δίκην, παρὰ τῶν ἀδικούντων λαμβάνοντες· ὥσπερ τοῦ ὀναίδους, ἀλλ' οὐ τῆς ζημίας αὐτοῖς μέλον· εὖ εἰδότες, ὅτι ἐν μὲν τῇ ψήφῳ οὐδὲν ἄλλο ποιεῖτε, ἢ ὀνειδίζετε τοῖς ἀδικοῦσιν, ἐν δὲ τῷ τιμήματι τιμωρεῖσθε τοὺς ἐξαμαρτάνοντας.

ΛΥΣΙΟΥ

ΚΑΤΑ ΕΡΓΟΚΛΕΟΥΣ ΕΠΙΛΟΓΟΣ.

Τὰ μὲν κατηγορημένα οὕτως ἐστὶ πολλὰ καὶ δεινά, ὦ ἄνδρες Ἀθηναῖοι, ὥστε οὐκ ἂν μοι δοκεῖ δύνασθαι Ἐργοκλῆς, ὑπὲρ ἑνὸς ἑκάστου τῶν πεπραγμένων αὐτῷ, πολλάκις ἀποθανὼν, δοῦναι δίκην ἀξίαν τῷ ὑμετέρῳ πλήθει. καὶ γὰρ πόλεις προδεδωκὼς φαίνεται, καὶ προξένους καὶ πολίτας ὑμετέρους ἠδικηκώς· καὶ ἐκ πένητος, ἐκ τῶν ὑμετέρων, πλούσιος γεγενημένος. καίτοι πῶς αὐτοῖς χρὴ συγγνώμην ἔχειν, ὅταν ὁρᾶτε τὰς μὲν ναῦς, ὧν ἦρχον οὗτοι, δι' ἀπορίαν χρημάτων καταλυομένας, καὶ ἐκ πολλῶν ὀλίγας γινομένας, τούτους δὲ, πένητας καὶ ἀπόρους ἐκπλεύσαντας, οὕτω ταχέως πλείστην τῶν πολιτῶν οὐσίαν κεκτημένους; ὑμέτερον τοίνυν ἔργον ἐστὶν, ὦ ἄνδρες Ἀθηναῖοι, ἐπὶ τοῖς τοιούτοις ὀργίζεσθαι. καὶ γὰρ δὴ δεινὸν ἂν εἴη, εἰ νῦν μὲν οὕτως αὐτοὶ πιεζόμενοι ταῖς εἰσφοραῖς, συγγνώμην τοῖς κλέπτουσι καὶ τοῖς δωροδοκοῦσιν ἔχοιτε· ἐν δὲ τῷ τέως χρόνῳ, καὶ τῶν οἴκων τῶν ὑμετέρων μεγάλων ὄντων, καὶ τῶν δημοσίων προσόδων μεγάλων οὐσῶν, θανάτῳ ἐκολάζετε τοὺς τῶν ὑμετέρων ἐπιθυμοῦντας. οἶμαι δ' ἔγωγε πάντας ὑμᾶς ὁμολογῆσαι, εἰ ὑμῖν

Θρασύβουλος ἐπηγγέλλετο τριήρεις ἔχων ἐκπλεύσεσθαι, καὶ ταύτας παλαιὰς ἀντὶ καινῶν παραδώσειν· καὶ τοὺς μὲν κινδύνους, ὑμετέρους ἔσεσθαι, τὰς δ' ὠφελείας, τῶν αὐτοῦ φίλων· καὶ ὑμᾶς μὲν διὰ τὰς εἰσφορὰς πενεστέρους ἀποδείξειν, Ἐργοκλέα δὲ καὶ τοὺς κόλακας τοὺς αὐτοῦ πλουσιωτάτους τῶν πολιτῶν ποιήσειν· οὐδένα ἂν ὑμῶν ἐπιτρέψαι τὰς ναῦς ἐκεῖνον ἔχοντα ἐκπλεῦσαι· ἄλλως τε καὶ, ἐπειδὴ τάχιστα ὑμεῖς ἐψηφίσασθε τὰ χρήματα ἀπογράψαι τὰ ἐκ τῶν πόλεων εἰλημμένα, καὶ τοὺς ἄρχοντας τοὺς μετ' ἐκείνου καταπλεῖν εὐθύνας δώσοντας, Ἐργοκλῆς ἔλεγεν ὡς ἤδη συκοφαντεῖτε, καὶ τῶν ἀρχαίων νόμων ἐπιθυμεῖτε. καὶ Θρασυβούλῳ συνεβούλευε Βυζάντιον καταλαβεῖν, καὶ τὰς ναῦς ἔχειν, καὶ τὴν Σεύθου θυγατέρα γαμεῖν· „ἵνα αὐτῶν ἐκκόψῃς, ἔφη, τὰς συκοφαντίας. ποιήσεις γὰρ αὐτοὺς οὐκ ἐπιβουλεύοντάς σοι καθῆσθαι καὶ τοῖς σοῖς φίλοις, ἀλλὰ περὶ αὑτῶν δεδιέναι.“ Οὕτως, ὦ ἄνδρες Ἀθηναῖοι, ἐπειδὴ τάχιστα ἐνεπέπληντο, καὶ τῶν ὑμέτερων ἀπέλαυσαν, ἀλλοτρίους τῆς πόλεως αὑτοὺς ἡγήσαντο. ἅμα γὰρ πλουτοῦσι, καὶ ὑμᾶς μισοῦσι· καὶ οὐκέτι ὡς ἀρξόμενοι παρασκευάζονται, ἀλλ' ὡς ὑμῶν ἄρξοντες· καὶ διεδιότες ὑπὲρ ὧν ἀφῄρηνται, ἕτοιμοί εἰσι καὶ χωρία καταλαμβάνειν, καὶ ὀλιγαρχίαν καθιστάνειν, καὶ πάντα πράττειν, ὅπως ὑμεῖς ἐν τοῖς δεινοτάτοις κινδύνοις καθ' ἑκάστην ἡμέραν ἔσεσθε. οὕτω γὰρ ἡγοῦνται οὐκέτι τοῖς σφετέροις αὐτῶν ἁμαρτήμασι τὸν νοῦν ὑμᾶς προσέξειν, ἀλλ' ὑπὲρ ὑμῶν αὐτῶν καὶ τῆς πόλεως

ὀῤῥωδοῦντας, ἡσυχίαν πρὸς τούτους ἔξειν. Θρασύβουλος μὲν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, (οὐδὲν γὰρ δεῖ περὶ αὐτοῦ πλείω λέγειν) καλῶς ἐποίησεν οὕτω τελευτήσας τὸν βίον. οὐ γὰρ ἔδει αὐτὸν οὔτε ζῆν, τοιούτοις ἔργοις ἐπιβουλεύοντα, οὔθ' ὑφ' ὑμῶν ἀποθανεῖν, ἤδη τι δοκοῦντα ὑμᾶς ἀγαθὸν πεποιηκέναι· ἀλλὰ τοιούτῳ τρόπῳ τῆς πόλεως ἀπαλλαγῆναι. ὁρῶ δ' αὐτοὺς διὰ τὴν πρώην ἐκκλησίαν οὐκέτι φειδομένους τῶν χρημάτων, ἀλλ' ὠνουμένους τὰς αὑτῶν ψυχὰς καὶ παρὰ τῶν λεγόντων καὶ παρὰ τῶν ἐχθρῶν καὶ παρὰ τῶν πρυτάνεων, καὶ πολλοὺς Ἀθηναίων ἀργυρίῳ διαφθείρειν. ὑπὲρ ὧν ὑμῖν ἄξιόν ἐστιν ἀπολογήσασθαι, παρὰ τούτου νῦν δίκην λαβοῦσι, καὶ πᾶσιν ἀνθρώποις ἐπιδεῖξαι, ὅτι οὐκ ἔστι τοσαῦτα χρήματα, ὧν ὑμεῖς ἠττήσεσθε, ὥστε μὴ τιμωρεῖσθαι τοὺς ἀδικοῦντας. ἐνθυμεῖσθε γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι οὐκ Ἐργοκλῆς μόνος κρίνεται, ἀλλὰ καὶ ἡ πόλις ὅλη. νυνὶ γὰρ τοῖς ἄρχουσι τοῖς ὑμετέροις ἐπιδείξετε, πότερον χρὴ δικαίοις εἶναι, ἢ ὡς πλεῖστα τῶν ὑμετέρων ὑφελομένοις, τῷ αὐτῷ τρόπῳ τὴν σωτηρίαν παρασκευάζεσθαι, ὅπερ οὗτοι νυνὶ πειρῶνται. καίτοι εὖ εἰδέναι χρὴ, ὦ ἄνδρες δικασταὶ, ὅτι ὅστις ἐν τοσαύτῃ ἀπορίᾳ τῶν ὑμετέρων πραγμάτων, ἢ πόλεις προδίδωσιν, ἢ χρήματα κλέπτειν ἢ δωροδοκεῖν ἀξιοῖ, οὗτος καὶ τὰ τείχη καὶ τὰς ναῦς τοῖς πολεμίοις παραδίδωσι, καὶ ὀλιγαρχίαν ἐκ δημοκρατίας καθίστησιν. ὥστ' οὐκ ἄξιον ὑμῖν τῆς τούτων παρασκευῆς ἥττασθαι· ἀλλὰ παράδειγμα πᾶσιν ἀνθρώποις ποιῆσαι, καὶ μήτε

ρδος, μήτε ἔλεον, μήτ᾽ ἄλλο μηδὲν περὶ πλείονος
ιήσασθαι τῆς τούτων τιμωρίας. Οἶμαι δ᾽ Ἐργο-
έα, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ μὲν Ἁλικαρνασσοῦ
ὲ περὶ τῆς ἀρχῆς καὶ περὶ τῶν αὐτῷ πεπραγμένων
κ ἐπιχειρήσειν ἀπολογεῖσθαι, ἐρεῖν δὲ, ὡς ἀπὸ
υλῆς κατῆλθε, καὶ ὡς δημοτικός ἐστι, καὶ ὡς τῶν
νδύνων τῶν ὑμετέρων μετέσχεν. ἐγὼ δὲ, ὦ ἄνδρες
Θηναῖοι, οὐ τοιαύτην γνώμην ἔχω περὶ τῶν τοιού-
ν· ἀλλ᾽ ὅσοι μὲν ἐλευθερίας καὶ τοῦ δικαίου ἐπι-
μοῦντες, καὶ τοὺς νόμους ἔχειν βουλόμενοι, καὶ
ὺς ἀδικοῦντας μισοῦντες, τῶν ὑμετέρων κινδύνων
τέσχον, οὐ πονηροὺς εἶναι πολίτας, οὐδὲ ἀδίκως
ύτοις φημὶ ἂν εἶναι ὑπόλογον τὴν ἐκείνων φυγήν·
οι δὲ κατελθόντες, ἐν δημοκρατίᾳ τὸ μὲν ὑμέτε-
ν πλῆθος ἀδικοῦσι, τοὺς δὲ ἰδίους οἴκους ἐκ τῶν
τέρων μεγάλους ποιοῦσι, πολὺ μᾶλλον αὐτοῖς
ωσήκει ὀργίζεσθαι, ἢ τοῖς τριάκοντα. οἱ μὲν γὰρ
τοῦτ᾽ ἐχειροτονήθησαν, ἵνα κακῶς, εἴ πη δύ-
το, ὑμᾶς ποιήσαιεν· τούτοις δ᾽ ὑμᾶς αὐτοὺς
ρέψατε, ὡς μεγάλην καὶ ἐλευθέραν τὴν πόλιν
τωσιν· ὧν ὑμῖν οὐδὲν ἀποβέβηκεν, ἀλλὰ, τὸ
ύτοις εἶναι, ἐν τοῖς δεινοτάτοις κινδύνοις κα-
κατε. ὥστε πολὺ ἂν δικαιότερον ὑμᾶς αὐτοὺς
τους ἐλεοῖτε, καὶ τοὺς ὑμετέρους παῖδας καὶ
ας, ὅτι ὑπὸ τοιούτων ἀνδρῶν λυμαίνεσθε.
ὲρ ἡγησώμεθα σωτηρίας ἀντειλῆφθαι, δεινό-
ὸ τῶν ἡμετέρων ἀρχόντων πάσχομεν, ἢ ὑπὸ
εμίων. καίτοι πάντες ἐπίστασθε, ὅτι οὐδε-
ς σωτηρίας ὑμῖν δυστυχήσασιν. ὥστε ἄξιον

ὑμᾶς παρακελευσαμένους ὑμῖν αὐτοῖς, παρὰ τ
νυνὶ τὴν μεγίστην δίκην λαβεῖν, καὶ τοῖς ἄλλοι
λησιν ἐπιδεῖξαι, ὡς τοὺς ἀδικοῦντας τιμωρ
καὶ τοὺς ὑμετέρους ἄρχοντας βελτίους ποιήσετι
μὲν οὖν ταῦθ' ὑμῖν παρακελεύομαι· ὑμᾶς δ
εἰδέναι, ὅτι, ἂν μὲν ἐμοὶ πεισθῆτε, εὖ περὶ
βουλεύσεσθε· εἰ δὲ μὴ, χείροσι τοῖς ἄλλοις πο
χρήσεσθε. ἔτι δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, ἂν
ἀποψηφίσησθε, οὐδεμίαν ὑμῖν ἔσονται χάριν,
τοῖς ἀνηλωμένοις, καὶ τοῖς χρήμασιν, οἷς ὑφ
ται. ὥστε τὴν μὲν ἔχθραν ὑμῖν αὐτοῖς καταλε
τῆς δὲ σωτηρίας ἐκείνοις ἔσονται χάριν. καὶ μ
ὦ ἄνδρες Ἀθηναῖοι, καὶ Ἁλικαρνασσεῖς καὶ οἱ
οἱ ὑπὸ τούτων ἠδικημένοι, ἂν μὲν παρὰ τούτ
μεγίστην δίκην λάβητε, νομιοῦσιν ὑπὸ τούτ
ἀπολωλέναι, ὑμᾶς δὲ αὐτοῖς βεβοηθηκέναι· ε
τούτους σώσητε, ἡγήσονται καὶ ὑμᾶς ὁμογν
γεγονέναι τοῖς αὐτοὺς προδεδωκόσιν. ὥστ'
τούτων ἁπάντων ἐνθυμηθέντας, ἅμα τοῖς τε
τοῖς ὑμετέροις ἀποδοῦναι χάριν, καὶ παρὰ τῶ
κούντων τὴν δίκην λαβεῖν.

ΛΥΣΙΟΥ

ΚΑΤΑ ΦΙΛΟΚΡΑΤΟΥΣ ΕΠΙΛΟΓΟΣ.

Ὁ μὲν ἀγὼν οὗτος, ὦ ἄνδρες δικασταὶ, ἐρημότερος γεγένηται, ἢ ἐγὼ προσεδόκων. πολλοὶ γὰρ ἦσαν οἱ ἀπειλοῦντες, καὶ οἱ φάσκοντες Φιλοκράτους κατηγορήσειν· ὧν οὐδεὶς νυνὶ φαίνεται. ὃ κἀμοὶ δοκεῖ οὐδενὸς ἔλαττον εἶναι τεκμήριον τῆς ἀπογραφῆς, ὅτι ἀληθὴς οὖσα τυγχάνει. εἰ γὰρ μὴ πολλὰ τῶν Ἐργοκλέους εἶχε χρημάτων, οὐκ ἂν οὕτως οἷός τ' ἦν ἀπαλλάξαι τοὺς κατηγόρους. ἐγὼ δὲ, ὦ ἄνδρες δικασταὶ, πάντας ὑμᾶς ἡγοῦμαι εἰδέναι, ὅτι Ἐργοκλέους διὰ τοῦτο ὑμεῖς θάνατον κατεχειροτονήσατε, ὅτι κακῶς διατιθεὶς τὰ τῆς πόλεως, πλέον ἢ τριάκοντα ταλάντων οὐσίαν ἐκτήσατο· καὶ τούτων τῶν χρημάτων οὐδὲν ἐν τῇ πόλει φαίνεται. καίτοι ποῖ χρὴ τραπέσθαι, ἢ πῇ ζητῆσαι τὰ χρήματα; εἰ γὰρ παρὰ τοῖς κηδεσταῖς, καὶ οἷς ἐκεῖνος οἰκειότατ' ἀνθρώπων ἐχρῆτο, μὴ φανήσεται, χαλεπῶς παρὰ τοῖς ἐχθροῖς εὑρεθήσεται. τίνα δὲ Ἐργοκλῆς περὶ πλείονος Φιλοκράτους ἐποιεῖτο; ἢ πρὸς τίν' ἀνθρώπων διέκειτο οἰκειότερον; οὗ τῶν μὲν ὑμετέρων πολιτῶν αὐτὸν ἐξήγαγε, τῶν δ' αὑτοῦ χρημάτων ταμίαν

ἐποίησε; καὶ τὸ τελευταῖον τριήραρχον αὐτὸν κατέστησε; καίτοι δεινόν, εἰ οἱ μὲν τὰς οὐσίας ἔχοντες ὁλοφυροῦνται τριηραρχοῦντες, οὗτος δὲ, οὐδὲν πρότερον κεκτημένος, ἐν ἐκείνῳ τῷ χρόνῳ ἐθελοντὴς ὑπέστη ταύτην τὴν λειτουργίαν· οὔκουν δὴ οὐχ ὡς ζημιωθησόμενον αὐτὸν τριήραρχον κατέστησεν, ἀλλ' ὡς ὠφεληθησόμενον, καὶ φυλάξοντα τὰ αὐτοῦ χρήματα, οὐκ ἔχων ὅτῳ χρὴ μᾶλλον τούτου πιστεῦσαι. ἡγοῦμαι δὲ, ὦ ἄνδρες δικασταὶ, Φιλοκράτει δύο εἶναι καὶ μόνας ἀπολογίας. προσήκειν γὰρ αὐτῷ ἀποδεῖξαι, ἢ ἑτέρους ἔχοντας τὰ Ἐργοκλέους χρήματα, ἢ ἀδίκως ἀπολωλότα ἐκεῖνον, καὶ οὐδὲν ὑφῃρημένον τῶν ὑμετέρων, οὐδὲ δεδωροδοκηκότα. εἰ δὲ τούτων μηδέτερον ποιήσει, δέδοκται καταψηφίζεσθαι, καὶ μὴ τοῖς μὲν παρὰ τῶν ἄλλων λαμβάνουσιν ὀργίζεσθαι, τοῖς δὲ τὰ ὑμέτερ' αὐτῶν ἔχουσι συγγνώμην ἔχειν. τίς δ' οὐκ οἶδεν Ἀθηναίων τρία τάλαντα περὶ Ἐργοκλέους μεσεγγυηθέντα τοῖς λέγουσιν, εἰ δύναιντο αὐτὸν σῶσαι, καὶ μὴ κατηγορεῖν; οἳ, ἐπειδὴ ἑώρων τὴν ὑμετέραν ὀργὴν τιμωρεῖσθαι βουλομένην, ἡσυχίαν ἦγον, καὶ οὐκ ἐτόλμων σφᾶς αὐτοὺς φανεροὺς ποιῆσαι. καὶ τὸ μὲν πρῶτον οὗτος οὐ κομιζόμενος παρ' αὐτῶν τὰ χρήματα, μηνύσειν ἔφη τῇ πόλει· ἐπειδὴ δὲ καὶ ταῦτα ἀπείληφε, καὶ τῶν ἄλλων τῶν ἐκείνου κύριος γεγένηται, εἰς τοῦτο τόλμης ἐλήλυθεν, ὥστε μάρτυρας πεπόρισται, οἳ μαρτυρήσουσιν αὐτῷ, ὡς ἦν ἔχθιστος ἁπάντων ἀνθρώπων Ἐργοκλεῖ. καίτοι οἵεσθ' ἂν αὐτὸν, ὦ ἄνδρες δικασταὶ, εἰς τοῦτο μανίας

ἀφικέσθαι, ὥστε Θρασυβούλου στρατηγοῦντος, καὶ Ἐργοκλέους αὐτῷ διαφερομένου, ἐθελοντὴν ὑποστῆναι τριήραρχον; πῶς γὰρ ἂν θᾶττον ἀπώλετο, ἢ πῶς ἂν μᾶλλον ἐπηρεάζετο; περὶ μὲν οὖν τούτων ἱκανὰ τὰ εἰρημένα· ἐγὼ δ' ὑμᾶς ἀξιῶ ὑμῖν αὐτοῖς βοηθῆσαι, καὶ πολὺ μᾶλλον τοὺς ἀδικοῦντας τιμωρεῖσθαι, ἢ τοὺς τὰ τῆς πόλεως ἔχοντας ἐλεεινοὺς ἡγεῖσθαι. οὐδὲν γὰρ τῶν αὑτοῦ καταθήσει, ἀλλὰ τὰ ὑμέτερα ὑμῖν αὐτοῖς ἀποδώσει, καὶ πολλῷ πλείον' αὐτῷ τούτων περιέσται. καὶ γὰρ ἂν καὶ δεινὸν εἴη, ὦ ἄνδρες δικασταὶ, εἰ τοῖς μὲν μὴ δυναμένοις τὰ σφέτερ' αὐτῶν εἰσφέρειν ὀργίζοισθε, καὶ τὰς οὐσίας αὐτῶν ὡς ἀδικούντων δημεύοιτε· τοὺς δὲ τὰ ὑμέτερα αὐτῶν ἔχοντας μὴ τιμωροῖσθε, ἀλλὰ τῶν τε χρημάτων ἀποστεροῖσθε, καὶ τούτους χαλεπωτέρους ἐχθροὺς ἔχοιτε. ἕως γὰρ ἂν τὰ ὑμέτερα ἔχοντες σφίσιν αὐτοῖς ξυνειδῶσιν, οὐδέποτε ὑμῖν παύσονται κακονοοῦντες· νομίζοντες τὰς τῆς πόλεως δυστυχίας μόνας ἀπαλλαγὴν εἶναι τῶν πρὸς αὐτοὺς πραγμάτων. ἡγοῦμαι δ', ὦ ἄνδρες δικασταὶ, οὐ μόνον περὶ χρημάτων αὐτῷ προσήκειν ἀγωνίζεσθαι, ἀλλὰ καὶ περὶ τοῦ σώματος κινδυνεύειν. καὶ γὰρ ἂν καὶ δεινὸν εἴη, εἰ οἱ μὲν τὰ τῶν ἰδιωτῶν ἀπολλύμενα τοῖς κλέπταις συνειδότες, τοῖς αὐτοῖς ἐνέχοιντο· οὗτος δὲ τὰ τῆς πόλεως Ἐργοκλεῖ συνειδὼς κλέπτοντι, καὶ ἐπὶ τοῖς ὑμετέροις δωροδοκοῦντι, μὴ τῆς αὐτῆς τιμωρίας τυγχάνοι, ἀλλὰ ἄθλα λάβοι τὴν ὑπ' ἐκείνου καταλειφθεῖσαν οὐσίαν ἀντὶ τῆς αὐτοῦ πονηρίας. ἄξιοι δ' ὑμῶν ἐν-

σιν ὀργῆς, ὦ ἄνδρες δικασταί. οὗτοι γὰρ, ὅτε Ἐργοκλῆς ἐκρίνετο, ἐν τῷ δήμῳ περιῶντες ἔλεγον, ὡς πεντακόσιοι μὲν αὐτοῖς εἴησαν ἐκ τοῦ Πειραιῶς δεδεκασμένοι, ἑξακόσιοι δὲ καὶ χίλιοι ἐκ τοῦ ἄστεος· μᾶλλον δὲ προσεποιοῦντο πιστεύειν τοῖς χρήμασιν, ἢ δεδιέναι τὰ αὐτῶν ἁμαρτήματα. ἐκεῖ μὲν οὖν ἐπεδείξατε αὐτοῖς, (ἐὰν δὲ εὖ φρονῆτε, καὶ νυνὶ τοῦτο φανερὸν πᾶσιν ἀνθρώποις ποιήσετε) ὅτι οὐκ ἔστι τοσαῦτα χρήματα, ἃ ὑμᾶς, οὓς ἐὰν λαμβάνητε ἀδικοῦντας, ἀποτρέψει τιμωρεῖσθαι, καὶ μηδεμίαν αὐτοῖς ἄδειαν δώσετε τὰ ὑμέτερα αὐτῶν διαρπάζουσι καὶ κλέπτουσιν. ἐγὼ μὲν οὖν ταῦτα ὑμῖν παραινῶ. πάντες γὰρ ἐπίστασθε, ὅτι Ἐργοκλῆς χρηματιούμενος, ἀλλ' οὐ πρὸς ὑμᾶς φιλοτιμησόμενος ἐξέπλευσε, καὶ οὐδεὶς ἄλλος ἔχει τὰ χρήματα, ἢ οὗτος. ἐὰν οὖν σωφρονῆτε, τὰ ὑμέτερ' αὐτῶν κομιεῖσθε.

ΛΥΣΙΟΥ

ΚΑΤΑ ΝΙΚΟΜΑΧΟΥ ΓΡΑΜΜΑΤΕΩΣ ΕΥΘΥΝΩΝ ΚΑΤΗΓΟΡΙΑ.

Ἤδη, ὦ ἄνδρες δικασταὶ, τινὲς εἰς κρίσιν καταστάντες, ἀδικεῖν μὲν ἔδοξαν, ἀποφαίνοντες δὲ τὰς τῶν προγόνων ἀρετὰς καὶ τὰς σφετέρας αὐτῶν εὐεργεσίας, συγγνώμης ἔτυχον παρ' ὑμῶν. ἐπειδὴ τοίνυν καὶ τῶν ἀπολογουμένων ἀποδέχεσθε, ἐάν τι ἀγαθὸν φαίνωνται τὴν πόλιν πεποιηκότες, ἀξιῶ καὶ τῶν κατηγόρων ὑμᾶς ἀκροάσασθαι, ἐὰν ἀποφαίνωσι τοὺς φεύγοντας πάλαι πονηροὺς ὄντας. ὅτι μὲν τοίνυν ὁ πατὴρ ὁ Νικομάχου δημόσιος ἦν, καὶ οἷα νέος ὢν οὗτος ἐπετήδευσε, καὶ ὅσα ἔτη γεγονὼς εἰς τοὺς φράτορας εἰσήχθη, πολὺ ἂν ἔργον εἴη λέγειν· ἐπειδὴ δὲ τῶν νόμων ἀναγραφεὺς ἐγένετο, τίς οὐκ οἶδεν, ὅσα τὴν πόλιν ἐλυμήνατο; προσταχθὲν γὰρ αὐτῷ τεσσάρων μηνῶν ἀναγράψαι τοὺς νόμους τοὺς Σόλωνος, ἀντὶ μὲν Σόλωνος αὐτὸν νομοθέτην κατέστησεν, ἀντὶ δὲ τεττάρων μηνῶν ἑξαέτη τὴν ἀρχὴν ἐποιήσατο. καθ' ἑκάστην δὲ ἡμέραν ἀργύριον λαμβάνων, τοὺς μὲν ἐνέγραφε, τοὺς δὲ ἐξήλειφεν. εἰς τοῦτο δὲ κατέστημεν, ὥστε ἐκ τῆς τούτου χειρὸς τεταμιεύμεθα τοὺς νόμους· καὶ οἱ ἀντίδικοι ἐπὶ τοῖς

δικαστηρίοις ἐναντίους παρείχοντο, ἀμφότεροι περὶ Νικομάχου φάσκοντες εἰληφέναι. ἐπιβαλλόντων δὲ τῶν ἀρχόντων ἐπιβολὰς, καὶ εἰσαγόντων εἰς τὸ δικαστήριον, οὐκ ἠθέλησε παραδοῦναι τοὺς νόμους· ἀλλὰ πρότερον ἡ πόλις εἰς τὰς μεγίστας συμφορὰς κατέστη, πρὶν τοῦτον ἀπαλλαγῆναι τῆς ἀρχῆς, καὶ τῶν πεπραγμένων εὐθύνας ὑποσχεῖν. καὶ γάρ τοι, ὦ ἄνδρες δικασταὶ, ἐπειδὴ ἐκείνων δίκην οὐ δέδωκεν, ὁποίαν καὶ νῦν τὴν ἀρχὴν κατεστήσατο; ὅστις πρῶτον μὲν τέτταρα ἔτη ἀνέγραψεν, ἐξὸν αὐτῷ τριάκοντα ἡμερῶν ἀπαλλαγῆναι· ἔπειτα διωρισμένον, ἐξ ὧν ἔδει ἀναγράφειν, αὐτὸν ἁπάντων κύριον ἐποιήσατο, καὶ ὅσα χειρίσας μόνος οὗτος τῶν ἀρξάντων εὐθύνας οὐκ ἔδωκεν. ἀλλ' οἱ μὲν ἄλλοι τῆς αὑτῶν ἀρχῆς κατὰ πρυτανείαν λόγον ἀναφέρουσι· σὺ δὲ, ὦ Νικόμαχε, οὐδὲ τεττάρων ἐτῶν ἠξίωσας ἐγγράψαι, ἀλλὰ μόνῳ σοὶ τῶν πολιτῶν ἐξεῖναι νομίζεις ἄρχειν πολὺν χρόνον, καὶ μήτε εὐθύνας διδόναι, μήτε τοῖς ψηφίσμασι πείθεσθαι, μήτε τῶν νόμων φροντίζειν· ἀλλὰ τὰ μὲν ἐγγράφεις, τὰ δὲ ἐξαλείφεις· καὶ εἰς τοῦτο ὕβρεως ἦκεις, ὥστε σαυτοῦ νομίζεις εἶναι τὰ τῆς πόλεως, αὐτὸς δημόσιος ὤν. ὑμᾶς τοίνυν χρὴ, ὦ ἄνδρες δικασταὶ, ἀναμνησθέντας καὶ τῶν προγόνων τῶν Νικομάχου, οἵτινες ἦσαν, καὶ οὗτος ὡς ἀχαριστοτάτους ὑμῖν προσενήνεκται παρανομήσας, κολάσαι αὐτόν· καὶ ἐπειδὴ ἑνὸς ἑκάστου δίκην οὐκ εἰλήφατε, νῦν ὑπὲρ ἁπάντων γ* ὠων τὴν τιμωρίαν ποιήσασθαι. Ἴσως δὲ, ὦ ἄνδρες δικασταὶ, ἐπειδὰν περὶ αὐτοῦ μηδὲν δύνηται ἀπολογεῖσθαι, ἐμὲ διαβάλλειν

πειράσεται. τότε δὲ περὶ τῶν ἐμῶν τούτῳ ἀξιῶ πιστεύειν ὑμᾶς, ὁπόταν, ἀπολογίας ἐμοὶ δοθείσης, μὴ δύνωμαι ψευδόμενον αὐτὸν ἐξελέγξαι. ἐὰν δ' ἄρα ἐπιχειρῇ λέγειν, ἅπερ ἐν τῇ βουλῇ, ὡς ἐγὼ τῶν τετρακοσίων ἐγενόμην, ἐνθυμεῖσθε τῶν τοιαῦτα λεγόντων, ἐκ τῶν τετρακοσίων πλεῖον ἢ χίλιοι γενήσονται. καὶ γὰρ τοὺς ἔτι παῖδας ὄντας ἐν ἐκείνῳ τῷ χρόνῳ, καὶ τοὺς ἀποδημοῦντας, οἱ διαβάλλειν βουλόμενοι, ταῦτα λοιδοροῦσιν· ἐγὼ δὲ οὕτω πολλοῦ ἐδέησα τῶν τετρακοσίων γενέσθαι, ὥστε οὐδὲ τῶν τρισχιλίων κατελέγην. δεινὸν δέ μοι δοκεῖ εἶναι, ὅτι, εἰ μὲν περὶ ἰδίων συμβολαίων ἀγωνιζόμενος, οὕτω φανερῶς ἐξήλεγχον αὐτὸν ἀδικοῦντα, οὐδ' ἂν αὐτὸς ἠξίωσε τοιαῦτα ἀπολογούμενος ἀποφεύγειν· νυνὶ δὲ περὶ τῶν τῆς πόλεως κρινόμενος, οἰήσεται χρῆναι ἐμοῦ κατηγορῶν ὑμῖν μὴ δοῦναι δίκην. ἔστι δὲ, οἶμαι, θαυμαστὸν νομίζειν Νικόμαχον ἑτέροις ἀδικοῦσι μνησικακεῖν ἄξιοῦν, ὃν ἐγὼ ἐπιβουλεύσαντα τῷ πλήθει ἀποδείξω. καί μου ἀκούσατε. δίκαιον γὰρ, ὦ ἄνδρες δικασταὶ, περὶ τῶν τοιούτων ἀνθρώπων τὰς τοιαύτας κατηγορίας ἀποδέχεσθαι, οἵτινες τότε συγκαταλύσαντες τὸν δῆμον, νυνὶ δημοτικοὶ φασὶν εἶναι. ἐπειδὴ γὰρ ἀπολομένων τῶν νεῶν ἡ μετάστασις ἐπράττετο, Κλεοφῶν τὴν βουλὴν ἐλοιδόρει, φάσκων συνεστάναι, καὶ οὐ τὰ βέλτιστα βουλεύειν τῇ πόλει. Σάτυρος δὲ Κηφισιεὺς βουλεύων ἔπεισε τὴν βουλὴν δήσαντας αὐτὸν παραδοῦναι δικαστηρίῳ. οἱ δὲ βουλόμενοι αὐτὸν ἀπολέσαι, δεδιότες μὴ οὐκ ἀποκτείνωσιν ἐν τῷ δικαστηρίῳ

πείθουσι Νικομαχίδην νομον ἀποδεῖξαι, ὡς χρὴ τὴν βουλὴν συνδικάζειν. καὶ ὁ πάντων οὗτος πονηρότατος οὕτω φανερῶς συνεστασίασεν, ὥστε τῇ ἡμέρᾳ, ᾗ ἡ κρίσις ἐγένετο, ἀποδεῖξαι τὸν νόμον. Κλεοφῶντος τοίνυν, ὦ ἄνδρες δικασταί, ἕτερα μὲν ἂν τις ἔχοι κατηγορῆσαι· τοῦτο δὲ παρὰ πάντων ὁμολογεῖται, ὅτι οἱ καταλύοντες τὸν δῆμον, ἐκεῖνον ἐβούλοντο μάλιστα τῶν πολιτῶν ἐκποδὼν γενέσθαι· καὶ ὅτι Σάτυρος καὶ Κλεοφῶν οἱ τῶν τριάκοντα γενόμενοι, οὐχ ὑπὲρ ὑμῶν ὀργιζόμενοι Κλεοφῶντος κατηγόρουν, ἀλλ' ἵνα ἐκεῖνον ἀποκτείναντες αὐτοὶ ὑμᾶς κακῶς ποιῶσι· καὶ ταῦτα διεπράξαντο διὰ τὸν νόμον, ὃν Νικόμαχος ἀπέδειξεν. εἰκὸς τοίνυν, ὦ ἄνδρες δικασταί, ἐνθυμεῖσθαι καὶ ὁπόσοι ὑμῶν ἐνόμιζον Κλεοφῶντα κακὸν πολίτην εἶναι· ὅτι, εἰ καὶ τῶν ἐν τῇ ὀλιγαρχίᾳ ἀποθανόντων ἴσως τις ἦν πονηρὸς, ἀλλ' ὅμως καὶ διὰ τοὺς τοιούτους ὀργίζεσθε τοῖς τριάκοντα, ὅτι οὐ τῶν ἀδικημάτων ἕνεκα, ἀλλὰ κατὰ στάσιν αὐτοὺς ἀπέκτειναν. ἐὰν οὖν πρὸς ταῦτα ἀπολογῆται, τοσοῦτον μέμνησθε, ὅτι ἐν τοιούτῳ καιρῷ τὸν νόμον ἀπέδειξεν, ἐν ᾧ ἡ πολιτεία μεθίστατο, καὶ τούτοις χαριζόμενος, οἳ τὸν δῆμον κατέλυσαν, καὶ ταύτην τὴν βουλὴν συνδικάζειν ἐποίησαν ἐν ᾗ Σάτυρος μὲν καὶ Χρέμων μέγιστον ἐδύναντο, Στρομβιχίδης δὲ καὶ Καλλιάδης καὶ ἕτεροι πολλοὶ καὶ καλοὶ κἀγαθοὶ τῶν πολιτῶν ἀπώλλυντο. καὶ περὶ τούτων οὐδένα ἂν ἐποιησάμην λόγον, εἰ μὴ ἠσθανόμην αὐτὸν, ὡς δημοτικὸν ὄντα, πειράσεσθαι παρὰ τὸ δίκαιον σώζεσθαι, καὶ τῆς εὐνοίας

τῆς εἰς τὸ πλῆθος τεκμηρίῳ χρησόμενον, ὅτι ἔφυγεν. ἐγὼ δὲ καὶ ἑτέρους ἂν ἔχοιμι ἐπιδεῖξαι τῶν συγκαταλυσάντων τὸν δῆμον, τοὺς μὲν, ἀποθανόντας, τοὺς δὲ, φυγόντας τε καὶ οὐ μετασχόντας τῆς πολιτείας. ὥστε οὐδὲν εἰκὸς αὐτῷ τοῦτο ὑπόλογον γενέσθαι. τοῦ μὲν γὰρ ὑμᾶς φυγεῖν, μέρος τι καὶ οὗτος συνεβάλετο· τοῦ δὲ τοῦτον κατελθεῖν, τὸ πλῆθος τὸ ὑμέτερον αἴτιον ἐγένετο. ἔτι δὲ καὶ δεινόν, εἰ ὧν μὲν ἄκων ἔπαθε, χάριν αὐτῷ εἴσεσθε· ὧν δ' ἑκὼν ἐξήμαρτε, μηδεμίαν τιμωρίαν ποιήσεσθε· πυνθάνομαι δὲ αὐτὸν λέγειν, ὡς ἀσεβῶ καταλύων τὰς θυσίας· ἐγὼ δ' εἰ μὲν νόμους ἐτίθην περὶ τῆς ἀναγραφῆς, ἡγούμην ἂν ἐξεῖναι Νικομάχῳ τοιαῦτα εἰπεῖν περὶ ἐμοῦ· νῦν δὲ τοῖς κοινοῖς καὶ κειμένοις ἀξιῶ τοῦτον πείθεσθαι. θαυμάζω δὲ, εἰ μὴ ἐνθυμεῖται, ὅταν ἐμὲ φάσκῃ ἀσεβεῖν, λέγοντα, ὡς χρὴ θύειν τὰς θυσίας τὰς ἐκ τῶν κύρβεων καὶ τῶν στηλῶν, κατὰ τὰς συγγραφὰς, ὅτι καὶ τῆς πόλεως κατηγορεῖ. ταῦτα γὰρ ὑμεῖς ἐψηφίσασθε. ἔπειτα εἰ ταῦτα νομίζεις δεινὰ, ἦπου σφόδρα ἐκείνους ἠγῇ ἀδικεῖν, οἳ τὰ ἐκ τῶν κύρβεων μόνον ἔθυον. καίτοι, ὦ ἄνδρες δικασταὶ, περὶ εὐσεβείας οὐ παρὰ Νικομάχου δεῖ μανθάνειν, ἀλλ' ἐκ τῶν γεγενημένων σκοπεῖν. οἱ τοίνυν πρόγονοι τὰ ἐκ τῶν κύρβεων θύοντες, μεγίστην καὶ εὐδαιμονεστάτην τῶν Ἑλληνίδων τὴν πόλιν παρέδοσαν. ὥστε ἄξιον ἡμῖν τὰς αὐτὰς ἐκείνοις θυσίας ποιεῖσθαι καὶ εἰ μηδὲν δι' ἄλλο, τῆς τύχης ἕνεκα τῆς ἐξ ἐκείνων τῶν ἱερῶν γεγενημένης. πῶς δ' ἂν τις εὐσεβέστερος γένοιτο ἐμοῦ;

ὅστις ἀξιῶ, πρῶτον μὲν κατὰ τὰ πάτρια θύειν ἔπειτα, ἃ μᾶλλον συμφέρει τῇ πόλει· ἔτι δὲ, ἃ ὁ δῆμος ἐψηφίσατο, καὶ δυνησόμεθα δαπανῆν ἐκ τῶν προσιόντων χρημάτων. σὺ δὲ, ὦ Νικόμαχε, τούτων τἀναντία πεποίηκας· ἀναγράψας γὰρ πλείω τῶν προσταχθέντων, αἴτιος γεγένησαι τὰ προσιόντα χρήματα εἰς ταῦτα μὲν ἀναλίσκεσθαι, ἐν δὲ ταῖς πατρίοις θυσίαις ἐπιλείπειν. αὐτίκα πέρυσιν ἱερὰ ἄθυτα τριῶν ταλάντων γεγένηται τῶν ἐν ταῖς κύρβεσι γεγραμμένων· καὶ οὐχ οἷόν τε εἰπεῖν, ὡς οὐχ ἱκανὰ ἦν, ἃ προσῆλθε τῇ πόλει. εἰ γὰρ οὗτος μὴ πλείω ἀνέγραψεν ἓξ ταλάντοις, εἷς γε τὰς θυσίας τὰς πατρίους ἂν ἐξήρκεσε, καὶ τρία τάλαντα ἂν περιεγένετο τῇ πόλει. περὶ δὲ τῶν εἰρημένων καὶ μάρτυρας ὑμῖν παρέξομαι. ΜΑΡΤΤΡΕΣ. Ἐνθυμεῖσθε τοίνυν, ὦ ἄνδρες δικασταὶ, ὅτι, ὅταν μὲν κατὰ τὰς συγγραφὰς ποιῶμεν, ἅπαντα τὰ πάτρια θύεται· ἐπειδὰν δὲ κατὰ τὰς στήλας, ἃς οὗτος ἀνέγραψε, πολλὰ τῶν ἱερῶν καταλύεται. καὶ τούτοις ὁ ἱερόσυλος περιτρέχει, λέγων ὡς εὐσέβειαν, ἀλλ᾽ οὐκ εὐτέλειαν ἀνέγραψε· καὶ εἰ μὴ ταῦτα ὑμῖν ἀρίσκει, ἐξαλείφειν κελεύει, καὶ ἐκ τούτων οἴεται πείθειν, ὡς οὐδὲν ἀδικεῖ· ὃς ἐν δυοῖν μὲν ἐτοῖν πλείω ἤδη τοῦ δέοντος δώδεκα ταλάντοις ἀνάλωσε, παρ᾽ ἕκαστον δὲ τὸν ἐνιαυτὸν ἐπεχείρησεν ἓξ ταλάντοις τὴν πόλιν ζημιῶσαι· καὶ ταῦτα, ὁρῶν αὐτὴν ἀποροῦσαν χρημάτων· καὶ Λακεδαιμονίους μὲν ἀπειλοῦντας, ὅταν μὴ ἀποπέμψωμεν αὐτοῖς τὰ χρήματα· βοιωτοὺς δὲ σῦλα ποιουμένους, ὅτι οὐ δυνάμεθα δύο τάλαντα ἀπο-

δοῦναι· τοὺς δὲ νεωσοίκους καὶ τὰ τείχη περικαταῤ-
ῥέοντα. εἰδὼς δὲ, ὅτι ἡ βουλὴ ἡ βουλεύουσα, ὅταν
μὲν ἔχῃ ἱκανὰ χρήματα εἰς διοίκησιν, οὐδὲν ἐξαμαρ-
τάνει· ὅταν δὲ εἰς ἀπορίαν καταστῇ, ἀναγκάζεται
εἰσαγγελίας δέχεσθαι, καὶ δημεύειν τὰ τῶν πολιτῶν,
καὶ τῶν ῥητόρων τοῖς πονηρότατα λέγουσι πείθε-
σθαι. χρὴ τοίνυν, ὦ ἄνδρες δικασταὶ, μὴ τοῖς βου-
λεύουσιν ἑκάστοτε ὀργίζεσθαι, ἀλλὰ τοῖς εἰς τοιαύ-
τας ἀπορίας καθιστᾶσι τὴν πόλιν. προσέχουσι τὸν
νοῦν οἱ βουλόμενοι τὰ κοινὰ κλέπτειν, ὅπως Νικό-
μαχος ἀγωνιεῖται· οἷς ὑμεῖς, ἐὰν μὴ τοῦτον τιμω-
ρήσησθε, πολλὴν ἄδειαν ποιήσετε· ἐὰν δὲ καταψη-
φισάμενοι τῶν ἐσχάτων αὐτῷ τιμήσητε, τῇ αὐτῇ
ψήφῳ τούς τε ἄλλους βελτίους ποιήσετε, καὶ παρὰ
τούτου δίκην εἰληφότες ἔσεσθε· ἐπίστασθε δὲ, ὦ
ἄνδρες δικασταὶ, ὅτι παράδειγμα τοῖς ἄλλοις ἔσται
ἡ τολμῶν εἰς ὑμᾶς ἐξαμαρτάνειν, οὐχ ὅταν τοὺς
δυνάτους εἰπεῖν κολάζητε, ἀλλ᾽ ὅταν παρὰ τῶν δυ-
ομένων λέγειν δίκην λαμβάνητε. τίς οὖν τῶν ἐν τῇ
λει ἐπιτηδειότερος Νικομάχου δοῦναι δίκην; τίς
ττω τὴν πόλιν ἀγαθὰ πεποίηκεν, ἢ πλείω ἠδίκη-
; ὃς καὶ τῶν ὁσίων καὶ τῶν ἱερῶν ἀναγραφεὺς
μενος, εἰς ἀμφότερα ταῦτα ἡμάρτηκεν; ἀναμνή-
τε δὲ, ὅτι πολλοὺς ἤδη τῶν πολιτῶν ἐπὶ κλοπῇ
άτων ἀπεκτείνατε. καίτοι ἐκεῖνοι μὲν τοσοῦτον
ν ὑμᾶς ἔβλαψαν, ὅσον ἐν τῷ παρόντι, οὗτοι δ᾽
ῇ τῶν νόμων ἀναγραφῇ καὶ τῶν ἱερῶν δῶρα
ντες, εἰς ἅπαντα τὸν χρόνον τὴν πόλιν ζη-
. διὰ τί δ᾽ ἄν τις ἀποψηφίσαιτο τούτου;

πότερον, ὡς ἀνδρὸς ἀγαθοῦ πρὸς τοὺς πολεμίους καὶ πολλαῖς μάχαις καὶ ναυμαχίαις παραγενηθέντος; ἀλλὰ ὅτε ὑμεῖς ἐκινδυνεύετε ἐκπλέοντες, οὐτε αὐτοῦ μόνων τοὺς Σόλωνος νόμους ἐλυμαίνετο. ἆλλ' ὅτι χρήμασι δεδαπάνηκε, καὶ πολλὰς εἰσφορὰς εἰσενήνοχεν; ἀλλ' οὐχ ὅπως ὑμῖν τῶν αὑτοῦ τι ἔδωκεν, ἀλλὰ καὶ τῶν ὑμετέρων πολλὰ ὑφήρηται. ἀλλὰ διὰ τοὺς προγόνους; ἤδη γάρ τινες καὶ διὰ τοῦτο συγγνώμης ἔτυχον παρ' ὑμῶν. ἀλλὰ τούτῳ γε προσήκει διὰ μὲν αὐτὸν τεθνάναι, διὰ δὲ τοὺς προγόνους πεπράσθαι. ἀλλ' ὡς, ἐὰν νῦν αὐτοῦ φείσησθε, αὖθις ἀποδώσει τὰς χάριτας; ὃς οὐδ' ὧν πρότερον μετέλαβε παρ' ὑμῶν ἀγαθῶν μέμνηται. καίτοι ἀντὶ μὲν δούλου πολίτης γεγένηται· ἀντὶ δὲ πτωχοῦ, πλούσιος· ἀντὶ δὲ ὑπογραμματέως, νομοθέτης. ἃ καὶ ὑμῶν ἔχοι ἄν τις κατηγορῆσαι, ὅτι οἱ μὲν πρόγονοι νομοθέτας ἥροῦντο Σόλωνα καὶ Θεμιστοκλέα καὶ Περικλέα, ἡγούμενοι τοιούτους ἔσεσθαι τοὺς νόμους, οἱοίπερ ἂν ὦσιν οἱ τιθέντες· ὑμεῖς δὲ Τισαμενὸν τὸν Μηχανίωνος, καὶ Νικόμαχον, καὶ ἑτέρους, ἀνθρώπους ὑπογραμματέας· καὶ τὰς μὲν ἀρχὰς ὑπὸ τῶν τοιούτων ἡγεῖσθε διαφθείρεσθαι, αὐτοὺς δὲ τούτοις πιστεύετε. ὃ δὲ πάντων δεινότατον, ὑπογραμματεῦσαι μὲν οὐκ ἔξεστι δὶς τὸν αὐτὸν τῇ ἀρχῇ τῇ αὐτῇ, περὶ δὲ τῶν μεγίστων τοὺς αὐτοὺς ἐᾶτε πολὺν χρόνον κυρίους εἶναι. καὶ τὸ τελευταῖον, Νικόμαχον εἵλεσθε ἀναγράφειν τὰ πάτρια, ᾧ κατὰ πατέρα τῆς πόλεως οὐ προσήκει· καὶ ὃν ἔδει ὑπὲρ τοῦ δήμου κρίνεσθαι, οὗτος τὸν

δῆμον συγκαταλύσας φαίνεται. νῦν τοίνυν ὑμῖν μεταμελησάτω τῶν πεπραγμένων, καὶ μὴ ὑπὸ τῶν ἀεὶ κακῶς πάσχοντες ἀνέχεσθε· μηδὲ ἰδίᾳ μὲν ὀνειδίζετε τοῖς ἀδικοῦσιν, ἐπειδὰν δ' ἐξῇ δίκην παρ' αὐτῶν λαμβάνειν, ἀποψηφίζεσθε. καὶ περὶ μὲν τούτων ἱκανά μοι τὰ εἰρημένα· περὶ δὲ τῶν ἐξαιτησομένων βραχέα πρὸς ὑμᾶς εἰπεῖν βούλομαι. παρεσκευασμένοι τινές εἰσι καὶ τῶν φίλων καὶ τῶν τὰ τῆς πόλεως πραττόντων, δεῖσθαι ὑπὲρ αὐτοῦ· ὧν ἐγὼ ἡγοῦμαι ἑνίοις προσήκειν ὑπὲρ τῶν ἑαυτοῖς πεπραγμένων ἀπολογεῖσθαι πολὺ μᾶλλον, ἢ τοὺς ἀδικοῦντας σώζειν προαιρεῖσθαι· δεινὸν δέ μοι δοκεῖ εἶναι, ὦ ἄνδρες δικασταὶ, ἓν τούτου μὲν ἑνὸς ὄντος, καὶ οὐδὲν ὑπὸ τῆς πόλεως ἠδικημένου, οὐκ ἐπεχείρησαν δεῖσθαι, ὡς χρὴ παύσασθαι εἰς ὑμᾶς ἐξαμαρτάνοντα· ὑμᾶς δὲ τοσούτους ὄντας καὶ ἠδικημένους ὑπὸ τούτου ζητήσουσιν, ὡς οὐ χρὴ δίκην παρ' αὐτοῦ λαμβάνειν. χρὴ τοίνυν, ὥσπερ ἂν τούτους ὁρᾶτε προθύμως σώζοντας τοὺς φίλους, οὕτω καὶ ὑμᾶς τοὺς ἐχθροὺς τιμωρεῖσθαι· εὖ εἰδότας, ὅτι τούτοις πρώτοις ἄνδρες ἀμείνους δόξετε εἶναι, ἐπὰν παρὰ τῶν ἀδικούντων δίκην λαμβάνητε· ἐνθυμεῖσθε δὲ, ὅτι οὔτε Νικόμαχος, οὔτε τῶν αἰτησομένων οὐδεὶς τοσαῦτα ἀγαθὰ πεποίηκε τὴν πόλιν, ὅσα οὗτος ἠδίκηκεν. ὥστε πολὺ μᾶλλον ὑμῖν προσήκει τιμωρεῖσθαι, ἢ τούτοις βοηθεῖν. εὖ δ' εἰδέναι χρὴ τοὺς αὐτοὺς τούτους, ὅτι πολλὰ δεηθέντες τῶν κατηγόρων, ἡμᾶς μὲν οὐδαμῶς ἔπεισαν, τὴν δὲ ὑμετέραν ψῆφον καταπειράσοντες εἰσεληλύθασιν εἰς τὸ δικα-

στήριον, καὶ ἐλπίζουσιν, ὑμᾶς ἐξαπατήσαντες, δειαν εἰς τὸν λοιπὸν χρόνον λήψεσθαι τοῦ πολιτεύεσθαι τι ἂν βούλωνται. ἡμεῖς μὲν τοίνυν οὐκ ἠθελήσαμεν ὑπὸ τούτων ἀξιούμενοι πεισθῆναι· τὸ δὲ αὐτὰ τοῦτο παρακαλοῦμεν, μὴ πρὸ τῆς κρίσεως μισοπονηρεῖν, ἀλλ' ἐν τῇ κρίσει τιμωρεῖσθαι τοὺς τὴν δημοκρατίαν νομοθεσίαν ἀφανίζοντας. οὕτω γὰρ ἐννόμως διοικηθήσεται τὰ κατὰ τὴν πολιτείαν ἅπαντα.

ΛΥΣΙΟΥ

ΚΑΤΑ ΦΙΛΩΝΟΣ ΔΟΚΙΜΑΣΙΑΣ.

Ὤιμην μέν, ὦ βουλή, οὐκ ἄν ποτ' εἰς τοῦτο τόλμης Φίλωνα ἀφικέσθαι, ὥστε ἐθελῆσαι ὡς ὑμᾶς ἐλθεῖν δοκιμασθησόμενον· ἐπιδὶ δὲ οὐχ ἕν τι μόνον, ἀλλὰ πολλὰ τολμηρός ἐστιν, ἐγὼ δὲ ὀμόσας εἰσῆλθον εἰς τὸ δικαστήριον τὰ βέλτιστα συμβουλεύσειν τῇ πόλει, ἔνεστι δὲ ἐν τῷ ὅρκῳ ἀποφαίνειν, εἴ τις τινὰ οἶδε τῶν ληχόντων ἀνεπιτήδειον ὄντα βουλεύειν· ἐγὼ τὴν κατὰ τουτουῖ Φίλωνος ποιήσομαι κατηγορίαν· οὐ μέντοιγε ἰδίαν ἔχθραν οὐδεμίαν μεταπορευόμενος, οὐδὲ τῷ δύνασθαι καὶ εἰωθέναι λέγειν ἐν ὑμῖν ἐπαρθείς, ἀλλὰ τῷ πλήθει τῶν ἁμαρτημάτων αὐτοῦ πιστεύων, καὶ τοῖς ὅρκοις, οἷς ὤμοσα, ἐμμένειν ἀξιῶν. γνώσεσθε μὲν οὖν, ὅτι οὐκ ἀπὸ

ὁσης παρασκευῆς ἐγώ τε τοῦτον ἐλέγξω οἷός ἐστι, καὶ
οὗτος ἐπεχείρησε πονηρὸς εἶναι. ὅμως, εἴ τι ἐγὼ
λλείποιμι τῷ λόγῳ τῆς κατηγορίας, οὐκ ἂν δίκαιος
ἴη οὗτος διὰ τοῦτο ὠφεληθῆναι, ἀλλὰ μᾶλλον, ὅ,
ι ἱκανῶς διδάξαιμι, ἐκ τούτων ἀποδοκιμασθῆναι.
νδεῶς μὲν γὰρ, διὰ τὴν ἀπειρίαν πάντων τῶν τού-
ῳ πεπραγμένων· ἱκανῶς δὲ, διὰ τὴν περὶ αὐτὸν κα-
ίαν, εἰρηκὼς ἂν εἴην. ἀξιῶ δὲ καὶ ὑμῶν, οἵτινες
υνατώτεροι ἐμοῦ εἰσι, λόγῳ ἀποφῆναι μείζω ὄντα
ιὐτοῦ τὰ ἁμαρτήματα, καὶ ἐξ ὧν ἂν ἐγὼ ὑπολίπω-
ιαι, πάλιν αὐτοὺς περὶ ὧν ἴσασι κατηγορῆσαι Φί-
ωνος· οὐ γὰρ ἐκ τῶν ὑπ' ἐμοῦ λεγομένων δεῖ ὑμᾶς
περὶ αὐτοῦ ὁποῖός ἐστι σκέψασθαι. ἐγὼ γὰρ οὐκ
ἄλλους τινὰς φημὶ δίκαιον εἶναι βουλεύειν περὶ ἡ-
ῶν, ἢ τοὺς πρὸς τῷ εἶναι πολίτας, καὶ ἐπιθυμοῦν-
ας τούτου. τούτοις μὲν γὰρ μεγάλα τὰ διαφέροντά
τιν εὖ τε πράττειν τὴν πόλιν τήνδε καὶ ἀνεπιτη-
είως· διὰ τὸ ἀναγκαῖον σφίσιν αὐτοῖς ἡγεῖσθαι εἶ-
ι μετέχειν τὸ μέρος τῶν δεινῶν, ὥσπερ καὶ τῶν
αθῶν μετέχουσι. καὶ γὰρ οἳ φύσει μὲν πολῖταί
ι, γνώμῃ δὲ χρῶνται, ὡς πᾶσα γῆ πατρὶς αὐτοῖς
ιν, ἐν ᾗ ἂν τὰ ἐπιτήδεια ἔχωσιν, οὗτοι δῆλοί εἰ-
, ὅτι ἂν, παρέντες τὸ τῆς πόλεως κοινὸν ἀγαθὸν,
τὸ ἑαυτῶν ἴδιον κέρδος ἕλθοιεν· διὰ τὸ μὴ τὴν
ν, ἀλλὰ τὴν οὐσίαν πατρίδα αὐτοῖς ἡγεῖσθαι.
τοίνυν ἀποφανῶ Φίλωνα τουτονὶ περὶ πλείονος
ιάμενον τὴν ἰδίαν ἀσφάλειαν, ἢ τὸν κοινὸν τῆς
ις κίνδυνον· καὶ ἡγησάμενον κρεῖττον εἶναι,
ἀκινδύνως τὸν βίον διάγειν, ἢ τὴν πόλιν σώ-

ζειν, ὁμοίως τοῖς ἄλλοις πολίταις κινδυνεύον
τος γὰρ, ὦ βουλὴ, ὅτε ἡ συμφορὰ τῇ πόλ
ἐγὼ, καθ' ὅσον ἀναγκάζομαι, κατὰ τοῦτο μέ
ἐκκεκηρυγμένος ἐκ τοῦ ἄστεος ὑπὸ τῶν τρ
μετὰ τοῦ ἄλλου πλήθους τῶν πολιτῶν, τέως
ἐν ἀγρῷ· ἐπειδὴ δὲ οἱ ἀπὸ Φυλῆς κατῆλθο
Πειραιᾶ, καὶ οὐ μόνον οἱ ἐκ τῶν ἀγρῶν,
οἱ ἐκ τῆς ὑπερορίας, οἱ μὲν εἰς τὸ ἄστυ,
τὸν Πειραιᾶ συνελέγοντο, καὶ καθ' ὅσον
οἷός τ' ἦν, κατὰ τοσοῦτον ἐβοήθει τῇ πατρ
ἐναντία ἅπασι τοῖς ἄλλοις πολίταις ἐποίη
σκευασάμενος γὰρ τὰ ἑαυτοῦ ἐνθάδε, εἰς τὴν
ρίαν ἐξῴκησε, καὶ ἐν Ὠρωπῷ μετοίκιον κατ
ἐπὶ προστάτου ᾤκει, βουληθεὶς παρ' ἐκείνοι
κεῖν μᾶλλον, ἢ μεθ' ἡμῶν πολίτης εἶναι. οὐ
οὐδ', ὥσπερ ἔνιοί τινες τῶν πολιτῶν μετεβ
ἐπειδὴ ἑώρων τοὺς ἀπὸ Φυλῆς ἐν οἷς ἔπραι
τυχοῦντας, οὐδὲ τούτων τι τῶν εὐτυχημάτων
μετασχεῖν, ἐπὶ κατειργασμένοις μᾶλλον ἐλθ
λόμενος, ἢ συγκατελθεῖν κατεργασάμενός τι
κοινῇ πολιτείᾳ συμφερόντων. οὐδ' ἦλθεν
Πειραιᾶ, οὐδ' ἔστιν ὅπου ἑαυτὸν ὑμῖν τάξο
σχε. καὶ γὰρ ὅστις εὐτυχοῦντας ὁρῶν ὑμᾶς
προδιδόναι, τί ποτε ὡς μὴ βουλόμεθά γε π
τιας ἐποίησεν ἄν; ὅσοι μὲν τοίνυν διὰ σι
ἰδίας οὐ μετέσχον τῶν τότε γενομένων τῇ πό
δύνων, συγγνώμης τινὸς ἄξιοί εἰσι τυχεῖν,
γὰρ οὐδὲν ἑκούσιον δυστύχημα γίγνεται)
τοῦτο γνώμῃ ἔπραξαν, οὐδεμιᾶς συγγνώμ

εἰσιν. οὐ γὰρ διὰ δυστυχίαν, ἀλλὰ δι' ἐπιβουλὴν ἐποίησαν αὐτό. καθέστηκε δέ τι ἔθος δίκαιον πᾶσιν ἀνθρώποις, τῶν αὐτῶν ἀδικημάτων μάλιστα ὀργίζεσθαι τοῖς μάλιστα δυναμένοις μὴ ἀδικεῖν, τοῖς δὲ πένησιν ἢ ἀδυνάτοις τῷ σώματι, συγγνώμην ἔχειν, διὰ τὸ ἡγεῖσθαι ἄκοντας αὐτοὺς ἁμαρτάνειν. οὗτος τοίνυν οὐδεμιᾶς συγγνώμης ἄξιός ἐστι τυχεῖν. οὔτε γὰρ τῷ σώματι ἀδύνατος ἦν ταλαιπωρεῖν, (ὡς καὶ ὑμεῖς ὁρᾶτε) οὔτε τῇ οὐσίᾳ ἄπορος λειτουργεῖν, ὡς ἐγὼ ἀποδείξω. ὅστις οὖν, ὅσον δυνατὸς ἦν ὠφελεῖν, τοσοῦτον κακὸς ἦν, πῶς οὐκ ἂν εἰκότως ὑπὸ πάντων ὑμῶν μισοῖτο; ἀλλὰ μὴν οὐδ' ἀπεχθήσεσθέ γε τῶν πολιτῶν οὐδενὶ, τοῦτον ἀποδοκιμάσαντες, οὔτ' εἰ τοὺς ἑτέρους, ἀλλ' ἀμφοτέρους φανερός ἐστι προδούς· ὥστε μήτε τοῖς ἐν τῷ ἄστει γενομένοις φίλον προσήκειν εἶναι τοῦτον, (οὐ γὰρ ἠξίωσεν ὡς αὐτοὺς ἐλθεῖν κινδυνεύοντας) μήτε τοῖς τὸν Πειραιᾶ καταλαβοῦσιν. οὐδὲ γὰρ τούτοις ἠθέλησε συγκατελθεῖν. φησὶ δὲ καὶ ταῦτα καὶ αὐτὸς γενόμενος. εἰ μέντοι τι μέρος περίεστι τῶν πολιτῶν, ὅ, τι τῶν αὐτῶν μετέσχε τούτῳ πραγμάτων, μετ' ἐκείνων, ἐάν ποτε (ὃ μὴ γένοιτο) λάβωσι τὴν πόλιν, βουλεύειν ἀξιούτω. ὡς οὖν ᾤκει τε ἐν Ὠρωπῷ ἐπὶ προστάτου, καὶ ἐκέκτητο ἱκανὴν οὐσίαν· καὶ οὔτ' ἐν τῷ Πειραιεῖ οὔτ' ἐν τῷ ἄστει ἔθετο τὰ ὅπλα, ἵνα εἰδῆτε, ὅτι ταῦτα πρῶτον ἀληθῆ λέγω, ἀκούσατε τῶν μαρτύρων. ΜΑΡΤΤΡΕΣ. Ὑπολείπεται τοίνυν αὐτῷ λέγειν, ὡς τῷ μὲν σώματι δι' ἀσθένειάν τινα γενομένην ἀδύνατος κατέστη βοηθῆσαι εἰς τὸν Πειραιᾶ· ἀπὸ δὲ τῶν ὑπαρ-

χόντων ἐπαγγειλάμενος αὐτὸς ἢ χρήματ' εἰσενέγκειν εἰς τὸ πλῆθος τὸ ὑμέτερον, ἢ ὁπλίσαι τινὰς τῶν ἑαυτοῦ δημοτῶν, ὥσπερ καὶ ἄλλοι πολλοὶ τῶν πολιτῶν, αὐτοὶ οὐ δυνάμενοι λειτουργεῖν τοῖς σώμασιν. ἵνα οὖν μὴ ἐγγένηται αὐτῷ ψευσαμένῳ ἐξαπατῆσαι, καὶ περὶ τούτων ἤδη σαφῶς ὑμῖν ἀποδείξω, ἐπειδὴ ὕστερον οὐκ ἐξέσται μοι παρελθόντι ἐνθάδ' ἐλέγχειν αὐτόν. καί μοι κάλει αὐτὸν Διότιμον Ἀχαρνέα, καὶ τοὺς αἱρεθέντας μετ' αὐτοῦ τοὺς δημότας ὁπλίσαι ἀπὸ τῶν εἰσενεχθέντων χρημάτων. ΜΑΡΤΥΡΙΑ τῶν περὶ Διότιμον. Οὗτος τοίνυν οὐχ ὅπως ὠφελήσαι τὴν πόλιν ἐν τοιούτῳ καιρῷ καὶ τοιαύτῃ καταστάσει διενοήθη, ἀλλ' ὅπως τι κερδαίνοι ἀπὸ τῶν ὑμετέρων συμφορῶν παρεσκευάσατο· ὁρμώμενος γὰρ ἐξ Ὠρωποῦ, τοτὲ μὲν αὐτὸς μόνος, τοτὲ δ' ἑτέροις ἡγούμενος, οἷς τὰ ὑμέτερα δυστυχήματα εὐτυχήματα ἐγεγόνει, περιῄων κατὰ τοὺς ἀγροὺς, καὶ ἐντυγχάνων τῶν πολιτῶν τοῖς πρεσβυτάτοις, οἳ κατέμειναν ἐν τοῖς δήμοις, ὀλίγα μὲν τῶν ἐπιτηδείων ἔχοντες, ἀναγκαῖα δὲ, εὖνοι μὲν ὄντες τῷ πλήθει, ἀδύνατοι δὲ ὑπὸ τῆς ἡλικίας βοηθεῖν· τούτους ἁφῃρεῖτο τὰ ὑπάρχοντα, περὶ πλείονος ποιούμενος αὐτὸς μικρὰ κερδαίνειν, ἢ ἐκείνους μηδὲν ἀδικεῖν· οἳ νῦν αὐτὸν δι' αὐτὸ τοῦτο οὐχ οἷοί τέ εἰσιν ἐπεξελθεῖν ἅπαντες, διόπερ καὶ τότε ἀδύνατοι τῇ πόλει βοηθεῖν ἦσαν. οὐ μέντοι τοῦτόν γε χρὴ διὰ τὴν ἐκείνων ἀδυναμίαν ὅις ὠφεληθῆναι, τότε ἀφελόμενον ἃ εἶχον, νῦν τε δοκιμασθέντα ὑφ' ὑμῶν· ἀλλὰ κἂν ὁστισοῦν παραγένηται τῶν ἀδικηθέντων, μεγα αὐτὸ

ἡγήσασθε εἶναι· καὶ τοῦτον ὑπερμισήσατε, ὅστις ἐτόλμησεν, οἷς ἕτεροι διδόναι παρ' ἑαυτῶν τι προῤῥοῦντο, διὰ τὴν ἀπορίαν οἰκτείραντες αὐτοὺς, τούτων ἀφαιρεῖσθαι τὰ ὑπάρχοντα. κάλει μοι τοὺς μάρτυρας. *ΜΑΡΤΤΡΕΣ.* Οὐ τοίνυν ἔγωγε οἶδα, ὅ, τι ὑμᾶς διαφερόντως δεῖ γινώσκειν περὶ αὐτοῦ, ἢ οἱ οἰκεῖοι γιγνώσκουσι. τοιαῦτα γάρ ἐστιν, ὥστ' εἰ καὶ μηδὲν αὐτῷ ἄλλο ἡμάρτητο, διὰ μόνα ταῦτα ἱκανὸν εἶναι ἀποδοκιμασθῆναι. οἷα μὲν οὖν ζῶσα ἡ μήτηρ αὐτοῦ κατηγόρει, παρήσω· ἐξ ὧν δὲ τελευτῶσα τὸν βίον διεπράξατο τεκμαιρομένοις ῥᾴδιόν ἐστιν ὑμῖν γνῶναι, ὁποῖός τις ἦν περὶ αὐτήν. ἐκείνη γὰρ τούτῳ μὲν ἠπίστησεν ἀποθανοῦσαν ἑαυτὴν ἐπιτρέψαι· Ἀντιφάνει δὲ οὐδὲν προσήκουσα πιστεύσασα, ἔδωκεν εἰς τὴν ἑαυτῆς ταφὴν τρεῖς μνᾶς ἀργυρίου, παραλιποῦσα τοῦτον υἱὸν ὄντα ἑαυτῆς. ἆρα δῆλον, ὅτι εὖ ᾔδει αὐτὸν οὐδὲ διὰ τὸ προσήκειν αὐτῇ τὰ δέοντα ἂν ποιήσοντα; καίτοι εἰ μήτηρ, ἥ πέφυκε καὶ ἀδικουμένη ὑπὸ τῶν ἑαυτῆς παίδων μάλιστα ἀνέχεσθαι, καὶ μηδ' ὠφελουμένη μεγάλα ἔχειν ἠξιῶσθαι, διὰ τὸ εὐνοίᾳ μᾶλλον ἢ ἐλέγχῳ τὰ γιγνόμενα δοκιμάζειν, ἐνόμιζε τοῦτον κἂν ἀπὸ τεθνεώσης φέρειν ἑαυτῆς, τί χρὴ ὑμᾶς περὶ αὐτοῦ διανοηθῆναι; ὅστις γὰρ περὶ τοὺς ἑαυτοῦ ἀναγκαίους τοιαῦτα ἁμαρτάνει ἁμαρτήματα, τί ἂν περί γε τοὺς ἀλλοτρίους ποιήσειεν; ὡς οὖν καὶ ταῦτ' ἀληθῆ ἐστιν, ἀκούσατε αὐτοῦ τοῦ λαβόντος τὸ ἀργύριον, καὶ θάψαντος αὐτήν. *ΜΑΡΤΤΣ.* Τί οὖν βουληθέντες ὑμεῖς τοῦτον δοκιμάσαιτε; πότερον, ὡς οὐχ ἡμαρτη-

κότα; ἀλλα τα μέγιστα περὶ τὴν πατρίδα
ἀλλ' ὡς ἔσται βελτίων; τοιγάρτοι πρότερο
γενόμενος περὶ τὴν πόλιν, ὕστερον βουλεύ
τω, φανερόν τι ἀγαθὸν, ὥσπερ τότε κακὸν,
σας. σωφρονέστερον γάρ ἐστιν, ὕστερον πᾶσ
ἔργων τὰς χάριτας ἀποδιδόναι. δεινὸν γὰρ ἔ
δοκεῖ εἶναι, εἰ ἐξ ὧν μὲν ἤδη ἡμάρτηκε, μηδὲ
τιμωρηθήσεται· ἐξ ὧν δὲ μέλλει εὖ ποιήσειν, ἤδ
τιμήσεται. ἀλλ' ἄρα, ἵνα βελτίους ὦσιν οἱ πολ
ὁρῶντες ἅπαντας ὁμοίως τιμωμένους, διὰ τοῦτ
κιμαστεον ἐστίν; ἀλλὰ κίνδυνος καὶ τοὺς χρησ
ἐὰν αἰσθάνωνται ὁμοίως τοῖς πονηροῖς τιμωμέ
παύσεσθαι τῶν χρηστῶν ἐπιτηδευμάτων· τῶν α
ἡγουμένους εἶναι τούς τε κακοὺς τιμᾷν, καὶ τὰ
γαθῶν ἀμνημονεῖν. ἄξιον δὲ καὶ τόδε ἐνθυμηθή
ὅτι, εἰ μέν τις φρούριόν τι προὔδωκεν, ἢ ναῦ
στρατόπεδόν τι, ἐν ᾧ μέρος τι ἐτύγχανε τῶν πολ
ὄν, ταῖς ἐσχάταις ἂν ζημίαις ἐζημιοῦτο· οὗτο
προδοὺς ὅλην τὴν πόλιν, οὐχ ὅπως τιμωρηθήσ
παρασκευάζεται. καίτοι δικαίως γ' ἂν ὅστις φ
ρῶς, ὥσπερ οὗτος, προὔδωκε τὴν ἐλευθερίαν,
περὶ τοῦ βουλεύειν, ἀλλὰ περὶ τοῦ δουλεύειν κα
μεγίστης ἀπορίας ἐκκλησιάζεται. ἀκούω δ' α
λέγειν, ὡς, εἴ τι ἦν ἀδίκημα τὸ μὴ παραγενέ
ἐν ἐκείνῳ τῷ καιρῷ, νόμος ἂν ἔκειτο περὶ αὐτοῦ δ
ῥήδην, ὥσπερ καὶ περὶ τῶν ἄλλων ἀδικημάτων.
γὰρ οἴεται ὑμᾶς γνώσεσθαι, ὅτι διὰ τὸ μέγεθος
ἀδικήματος οὐδεὶς περὶ αὐτοῦ ἐγράφη νόμος.
γὰρ ἄν ποτε ῥήτωρ ἐνεθυμήθη, ἢ νομοθέτης ἢ

σεν, ἁμαρτήσεσθαι τινα τῶν πολιτῶν τοσαύτην ἁμαρτίαν; οὐ γὰρ ἂν δή που, εἰ μέν τις λίποι τὴν τάξιν, μὴ αὐτῆς τῆς πόλεως ἐν κινδύνῳ οὔσης, ἀλλ' ἑτέρους εἰς τοῦτο καθιστάσης, ἐτέθη νόμος ὡς μεγάλα ἀδικοῦντος· εἰ δέ τις αὐτῆς τῆς πόλεως ἐν κινδύνῳ οὔσης λίποι τὴν πόλιν αὐτὴν, οὐκ ἂν ἄρα ἐτέθη. σφόδρα γ' ἄν, εἴ τις ᾠήθη τινὰ τῶν πολιτῶν ἁμαρτήσεσθαί τι τοιοῦτόν ποτε. τίς δ' οὐκ ἂν εἰκότως ἐπιτιμήσειεν ὑμῖν, εἰ τοὺς μετοίκους μὲν, ὅτι, οὐ κατὰ τὸ προσῆκον ἑαυτοῖς, ἐβοήθησαν τῷ δήμῳ, ἐτιμήσατε ἀξίως τῆς πόλεως· τοῦτον δὲ, ὅτι παρὰ τὸ προσῆκον ἑαυτῷ προὔδωκε τὴν πόλιν, μὴ κολάζοιτε, εἰ μή γε ἄλλῳ τινὶ μείζονι, τῇ γε παρούσῃ ἀτιμίᾳ; ἀναμνήσθητε δὲ, διότι ποτὲ τοὺς ἀγαθοὺς ἄνδρας γενομένους περὶ τὴν πόλιν τιμᾶτε, καὶ τοὺς κακοὺς ἀτιμάζετε. ἐδείχθη γὰρ ἀμφότερα ταῦτα, οὐ τῶν γεγενημένων μᾶλλόν τι ἕνεκα, ἢ τῶν γενησομένων· ἵν' ἀγαθοὶ προθυμῶνται γίνεσθαι ἐκ παρασκευῆς, κακοὶ δὲ μηδὲ ἐξ ἑνὸς τρόπου ἐπιχειρῶσιν. ἔτι δὲ ἐνθυμήθητε, ποίων ἂν ὑμῖν δοκεῖ οὗτος ὅρκων φροντίσαι, ὃς ἔργῳ τοὺς πατρῴους θεοὺς προὔδωκεν. ἢ πῶς ἂν χρηστόν τι βουλεῦσαι περὶ τῆς πολιτείας, ὃς οὐδὲ ἐλευθερῶσαι τὴν πατρίδα ἐβουλήθη· ἢ ποῖα ἂν ἀπόῤῥητα τηρῆσαι, ὃς οὐδὲ τὰ προειρημένα ποιῆσαι ἠξίωσε; πῶς δ' εἰκός ἐστι τοῦτον, ὃς οὐδὲ τελευταῖος ἐπὶ τοὺς κινδύνους ἦλθε, πρότερον τῶν κατεργασαμένων, καὶ οὕτω συντιμηθῆναι; σχέτλιον δ' ἂν εἴη, εἰ οὗτος μὲν ἅπαντας τοὺς πολίτας περὶ οὐδενὸς ἡγήσατο, ὑμεῖς δὲ τοῦτον ἕνα ὄντα μὴ

ἀποδοκιμάσαιτε. ὁρῶ δέ τινας, οἳ νῦν μὲν τούτῳ παρασκευάζονται βοηθεῖν, καὶ δεῖσθαι ὑμῶν, ἐπειδὴ ἐμὲ οὐκ ἠδύναντο πεῖσαι· τότε δὲ, ὅτε οἱ κίνδυνοι μὲν ὑμῖν καὶ οἱ μέγιστοι ἀγῶνες ἦσαν, τὰ δὲ ἄθλα αὐτὴ ἡ πολιτεία ἔκειτο, καὶ ἔδει οὐ μόνον περὶ τοῦ βουλεύειν, ἀλλὰ καὶ περὶ τῆς ἐλευθερίας βουλεύεσθαι, τότε οὐκ ἐδέοντο αὐτοῦ βοηθῆσαι καὶ ὑμῖν καὶ κοινῇ τῇ πόλει, καὶ μὴ προδοῦναι μήτε τὴν πατρίδα, μήτε τὴν βουλὴν, ἧς νῦν ἄξιοῖ τυχεῖν, οὐ μετὸν αὐτῷ, ἄλλων γε κατεργασαμένων. μόνος δὴ, ὦ βουλὴ, δικαίως οὐδ' ἂν ἀγανακτοίη μὴ τυχών. οὐ γὰρ ὑμεῖς νῦν αὐτὸν ἀτιμάζετε, ἀλλ' αὐτὸς αὑτὸν τότε ἀπεστέρησεν, ὅτε οὐκ ἠξίωσεν, ἥσπερ νῦν προθύμως κληρωσόμενος ἦλθε, καὶ τότε διαμαχόμενος περὶ αὐτῆς καταστῆναι μεθ' ὑμῶν. ἱκανὰ μὲν νομίζω εἰρῆσθαι, καίτοι πολλά γε παραλιπών· ἀλλὰ πιστεύω ὑμᾶς καὶ ἄνευ τούτων αὐτοὺς τὰ συμφέροντα τῇ πόλει γνώσεσθαι. οὐ γὰρ ἄλλοις τισὶν ὑμᾶς δεῖ, περὶ τῶν ἀξίων ὄντων βουλεύειν, τεκμηρίοις χρῆσθαι, ἢ ὑμῖν αὐτοῖς, ὁποῖοί τινες ὄντες αὐτοὶ περὶ τὴν πόλιν ἐδοκιμάσθητε. ἔστι γὰρ αὐτοῦ τὰ ἐπιτηδεύματα, κοινὰ παραδείγματα, καὶ πάσης δημοκρατίας ἀλλότρια.

ΛΥΣΙΟΥ

ΚΑΤΑ ΔΙΟΓΕΙΤΟΝΟΣ ΛΟΓΟΣ

Εἰ μὲν μὴ μεγάλα ἦν τὰ διαφέροντα, ὦ ἄνδρες δικασταί, οὐκ ἄν ποτε εἰς ὑμᾶς εἰσελθεῖν τούτους εἴασα· νομίζων αἴσχιστον εἶναι πρὸς τοὺς οἰκείους διαφέρεσθαι, εἰδώς τε, ὅτι οὐ μόνον οἱ ἀδικοῦντες χείρους ὑμῖν εἶναι δοκοῦσιν, ἀλλὰ καὶ οἵτινες ἂν ἧττον ὑπὸ τῶν προσηκόντων ἔχοντες ἀνέχεσθαι μὴ δύνωνται. ἐπειδὴ μέντοι, ὦ ἄνδρες δικασταί, πολλῶν χρημάτων ἀπεστέρηνται, καὶ πολλὰ καὶ δεινὰ πεπονθότες ὑφ' ὧν ἥκιστα ἐχρῆν, ἐπ' ἐμὲ κηδεστὴν ὄντα κατέφυγον, ἀνάγκη μοι γεγένηται εἰπεῖν ὑπὲρ αὐτῶν. ἔχω δὲ τούτων μὲν ἀδελφήν, Διογείτονος δὲ ἀδελφιδῆν, καὶ πολλὰ ἀμφοτέρων δεηθείς, τὸ μὲν πρῶτον ἔπεισα τοῖς φίλοις ἐπιτρέψαι διαιτᾶν, περὶ πολλοῦ ποιούμενος τὰ τούτων πράγματα μηδένα τῶν ἄλλων εἰδέναι. ἐπεὶ δὲ Διογείτων ἃ φανερῶς ἔχων ἐξήλεγκτο, περὶ τούτων οὐδενὶ τῶν αὑτοῦ φίλων ἐτόλμα πείθεσθαι, ἀλλ' ἠβουλήθη καὶ φεύγειν δίκας, καὶ μὴ οὔσας διώκειν, καὶ ὑπομεῖναι τοὺς ἐσχάτους κινδύνους μᾶλλον, ἢ τὰ δίκαια ποιήσας ἀπηλλάχθαι τῶν πρὸς τούτους ἐγκλημάτων, ὑμῶν δέομαι, ἐὰν μὲν ἀποδείξω οὗτος

αἰσχρῶς αὐτοὺς ἐπιτετροπευμένους ὑπὸ τοῦ πάππου, ὡς οὐδεὶς πώποτε ὑπὸ τῶν οὐδὲν προσηκόντων ἐν τῇ πόλει, βοηθεῖν αὐτοῖς τὰ δίκαια· εἰ δὲ μή, τούτῳ μὲν ἅπαντα πιστεύειν, ἡμᾶς δὲ εἰς τὸν λοιπὸν χρόνον ἡγεῖσθαι χείρους εἶναι. ἐξ ἀρχῆς δὲ ὑμᾶς περὶ αὐτῶν διδάξαι πειράσομαι.

Ἀδελφοὶ ἦσαν, ὦ ἄνδρες δικασταὶ, Διόδοτος καὶ Διογείτων, ὁμοπάτριοι καὶ ὁμομήτριοι· καὶ τὴν μὲν ἀφανῆ οὐσίαν ἐνέμαντο, τῆς δὲ φανερᾶς ἐκοινώνουν. ἐργασαμένου δὲ Διοδότου κατ' ἐμπορίαν πολλὰ χρήματα, πείθει αὐτὸν Διογείτων λαβεῖν τὴν ἑαυτοῦ θυγατέρα, ἥπερ ἦν αὐτῷ μόνη. καὶ γίνονται αὐτῷ δύο υἱοὶ καὶ θυγάτηρ. χρόνῳ δὲ ὕστερον καταλεγεὶς Διόδοτος μετὰ Θρασύλλου τοῦ ἐπὶ τῶν ὁπλιτῶν, καλέσας τὴν ἑαυτοῦ γυναῖκα, ἀδελφιδῆν οὖσαν, καὶ τὸν ἐκείνης μὲν πατέρα, αὐτοῦ δὲ κηδεστὴν καὶ ἀδελφὸν ὁμοπάτριον, πάππον δὲ τῶν παιδίων καὶ θεῖον, ἡγούμενος διὰ ταύτας τὰς ἀναγκαιότητας οὐδενὶ μᾶλλον προσήκειν ἑτέρῳ εἰς τοὺς παῖδας ἐπιτρόπῳ γενέσθαι, διαθήκην αὐτῷ δίδωσι, καὶ πέντε τάλαντα ἀργυρίου παρακαταθήκην. ναυτικὰ δὲ ἐπέδειξεν ἐκδεδομένα επτὰ τάλαντα, καὶ τετταράκοντα μνᾶς· χιλίας δὲ ὀφειλομένας ἐν Χερρονήσῳ. ἐπέσκηψε δὲ, ἐάν τι πάθῃ, τάλαντον μὲν ἐπιδοῦναι τῇ γυναικὶ, καὶ τὰ ἐν τῷ δωματίῳ δοῦναι· τάλαντον δὲ τῇ θυγατρί. κατέλιπε καὶ εἴκοσι μνᾶς τῇ γυναικὶ, καὶ τριάκοντα στατῆρας κυζικηνούς. ταῦτα δὲ πράξας, καὶ οἴκοι ἀντίγραφα καταλιπὼν, ᾤχετο στρατευσόμενος

μετὰ Θρασύλλου. ἀποθανόντος δὲ ἐκείνου ἐν Ἐφέσῳ, Διογείτων τὴν μὲν θυγατέρα ἔκρυπτε τὸν θάνατον τοῦ ἀνδρὸς, καὶ τὰ γράμματα λαμβάνει, ἃ κατέλιπε σεσημασμένα, φάσκων τὰ ναυτικὰ χρήματα δεῖν ἐκ τούτων τῶν γραμματείων κομίσασθαι. ἐπεὶ δὲ τῷ χρόνῳ ἐδήλωσε τὸν θάνατον αὐτοῖς, καὶ ἐπολησαν τὰ νομιζόμενα, τὸν μὲν πρῶτον ἐνιαυτὸν ἐν Πειραιεῖ διητῶντο· ἅπαντα γὰρ αὐτοῦ κατελέλειπτο τὰ ἐπιτήδεια. ἐκείνων δὲ ὑπολιπόντων, τοὺς μὲν παῖδας εἰς ἄστυ ἀναπέμπει, τὴν δὲ μητέρα αὐτῶν ἐκδίδωσιν, ἐπιδοὺς πεντακισχιλίας δραχμὰς, χιλίαις ἔλαττον ὧν ὁ ἀνὴρ αὐτῆς ἔδωκεν. ὀγδόῳ δ' ἔτει δοκιμασθέντος μετὰ ταῦτα τοῦ πρεσβυτέρου τοῖν μειρακίοιν, καλέσας αὐτοὺς εἶπε Διογείτων, ὅτι καταλίποι αὐτοῖς ὁ πατὴρ εἴκοσι μνᾶς ἀργυρίου καὶ τριάκοντα στατῆρας. ἐγὼ οὖν πολλὰ τῶν ἐμαυτοῦ δεδαπάνηκα εἰς τὴν ὑμετέραν τροφήν. καὶ ἕως μὲν εἶχον, οὐδέν μοι διέφερε· νῦν δὲ καὶ αὐτὸς ἀπόρως διάκειμαι· σὺ οὖν, ἐπειδὴ δεδοκίμασαι καὶ ἀνὴρ γεγένησαι, σκόπει αὐτὸς ἤδη, πόθεν ἕξεις τὰ ἐπιτήδεια. ταῦτ' ἀκούσαντες, ἐκπεπληγμένοι καὶ δακρύοντες ᾤχοντο πρὸς τὴν μητέρα, καὶ παραλαβόντες ἐκείνην ἦκον πρὸς ἐμὲ, οἰκτρῶς ὑπὸ τοῦ πάθους διακείμενοι, καὶ ἀθλίως ἐκπεπτωκότες, κλαίοντες, καὶ παρακαλοῦντές με μὴ περιϊδεῖν αὐτοὺς ἀποστερηθέντας τῶν πατρῴων, μηδ' εἰς πτωχείαν καταστάντας, ὑβρισμένους ὑφ' ὧν ἧκιστα ἐχρῆν, ἀλλὰ βοηθῆσαι, καὶ τῆς ἀδελφῆς οὕνεκα καὶ σφῶν αὐτῶν. πολλὰ ἂν εἴη λέγειν, ὅσον πένθος ἐν τῇ ἐμῇ

οἰκίᾳ ἦν ἐν ἐκείνῳ τῷ χρόνῳ. τελευτῶσα δὲ ἡ μήτηρ αὐτῶν ἠντιβόλει με καὶ ἱκέτευε συναγαγεῖν αὐτῇς τὸν πατέρα καὶ τοὺς φίλους, εἰποῦσα, ὅτι, εἰ καὶ πρότερον μὴ εἴθισται λέγειν ἐν ἀνδράσι, τὸ μέγεθος αὐτὴν ἀναγκάσει τῶν συμφορῶν, περὶ τῶν σφετέρων κακῶν δηλῶσαι πάντα πρὸς ἡμᾶς. ἐλθὼν δ' ἐγὼ ἠγανάκτουν μὲν πρὸς Ἡγήμονα τὸν ἔχοντα τὴν τούτου θυγατέρα, λόγους δ' ἐποιούμην πρὸς τοὺς ἄλλους ἐπιτηδείους, ἠξίουν δὲ τοῦτον εἰς ἔλεγχον ἰέναι περὶ τῶν πραγμάτων. Διογείτων δὲ τὸ μὲν πρῶτον οὐκ ἤθελε· τελευτῶν δὲ ὑπὸ τῶν φίλων ἠναγκάσθη. ἐπειδὴ δὲ συνήλθομεν, ἤρετο αὐτὸν ἡ γυνὴ, τίνα ποτὲ ψυχὴν ἔχων, ἄξιοῖ περὶ τῶν παίδων τοιαύτῃ γνώμῃ χρῆσθαι, ἀδελφὸς μὲν ὢν τοῦ πατρὸς αὐτῶν, πατὴρ δ' ἐμὸς, θεῖος δὲ αὐτοῖς καὶ πάππος. καὶ εἰ μηδένα ἀνθρώπων ᾐσχύνου, τοὺς θεοὺς ἐχρῆν σε (φησὶ) δεδιέναι· ὃς ἔλαβες μὲν, ὅτ' ἐκεῖνος ἐξέπλει, πέντε τάλαντα παρακαταθήκην, καὶ περὶ τούτων ἐγὼ θέλω, τοὺς παῖδας παραστησαμένη καὶ τούτους καὶ τοὺς ὕστερον ἐμαυτῇ γενομένους, ὀμόσαι ὅπου ἂν αὐτὸς λέγῃς. καίτοι οὐχ οὕτως ἐγώ εἰμι ἀθλία, οὐδ' οὕτω περὶ πολλοῦ ποιοῦμαι χρήματα, ὥστ' ἐπιορκήσασα κατὰ τῶν παίδων τῶν ἐμαυτῆς τὸν βίον καταλιπεῖν, ἀδίκως δὲ ἀφελέσθαι τὴν τοῦ πατρὸς οὐσίαν. ἔτι τοίνυν ἐξήλεγχεν αὐτὸν ἑπτὰ τάλαντα κεκομισμένον ναυτικὰ, καὶ τετρακισχιλίας δραχμάς· καὶ τούτων τὰ γράμματα ἐπέδειξεν. ἐν γὰρ τῇ διοικίσει, ὅτ' ἐκ Κολυττοῦ διῳκίζετο εἰς τὴν Φαίδρου οἰκίαν, τοὺς παῖδας ἐπιτυχόντας

ἐκβεβλημένῳ βιβλίῳ, ἐνεγκεῖν πρὸς ταύτην. ἀπέφηνε δ' αὐτὸν ἑκατὸν μνᾶς κεκομισμένον ἐγγύους ἐπὶ τόκῳ δεδανεισμένας, καὶ ἑτέρας δισχιλίας δραχμὰς, καὶ ἔπιπλα πολλοῦ ἄξια· φοιτᾷν δὲ καὶ σῖτον αὐτοῖς ἐκ Χερρονήσου παθ' ἕκαστον ἐνιαυτόν. ἔπειτα σὺ ἐτόλμησας (ἔφη) εἰπεῖν, ἔχων τοσαῦτα χρήματα, ὡς δισχιλίας δραχμὰς ὁ τούτων πατὴρ κατέλιπε, καὶ τριάκοντα στατῆρας; ἃ παρ' ἐμοὶ καταλειφθέντα, ἐκείνου τελευτήσαντος, ἐγώ σοι ἔδωκα, καὶ ἐκβάλλειν τούτους ἠξίωκας θυγατριδοῦς ὄντας ἐκ τῆς οἰκίας τῆς αὐτῶν ἐν τριβωνίοις, ἀνυποδήτους, οὐ μετὰ ἀκολούθου, οὐ μετὰ στρωμάτων, οὐ μετὰ ἱματίων, οὐ μετὰ τῶν ἐπίπλων, ἃ ὁ πατὴρ αὐτοῖς κατέλιπεν, οὐδὲ μετὰ τῶν παρακατατεθεικότων, ἃς ἐκεῖνος παρά σοι κατέθετο. καὶ νῦν τοὺς μὲν ἐκ τῆς μητρυιᾶς τῆς ἐμῆς παιδεύεις ἐν πολλοῖς χρήμασιν εὐδαίμονας ὄντας· καὶ ταῦτα μὲν καλῶς ποιεῖς· τοὺς δ' ἐμοὺς ἀδικεῖς, οὓς ἀτίμως ἐκ τῆς οἰκίας ἐκβαλὼν, ἀντὶ πλουσίων πτωχοὺς ἀποδεῖξαι προθυμῇ. καὶ ἐπὶ τοιούτοις ἔργοις, οὔτε τοὺς θεοὺς φοβῇ, οὔτε μὲ τὴν σὴν θυγατέρα τὴν συνειδυῖαν αἰσχύνῃ, οὔτε τοῦ ἀδελφοῦ μέμνησαι, ἀλλὰ πάντας ἡμᾶς περὶ ἐλαττόνος ποιῇ χρημάτων. τότε μὲν οὖν, ὦ ἄνδρες δικασταὶ, πολλῶν καὶ δεινῶν ὑπὸ τῆς γυναικὸς ῥηθέντων, οὕτω διετέθημεν πάντες οἱ παρόντες ὑπὸ τῶν τούτῳ πεπραγμένων, καὶ τῶν λόγων τῶν ἐκείνης, ὁρῶντες μὲν τοὺς παῖδας, οἷα ἦσαν πεπονθότες, ἀναμιμνησκόμενοι δὲ τοῦ ἀποθανόντος, ὡς ἀνέξοιτο τῆς οὐσίας τὸν ἐπίτροπον κατέλιπεν, ἐνθυμούμενοι

δὲ, ὡς χαλεπὸν ἐξευρεῖν, ὅτῳ χρὴ περὶ τῶν ἑαυτοῦ πιστεῦσαι τινά· ὥστε, ὦ ἄνδρες δικασταὶ, μηδένα τῶν παρόντων δύνασθαι φθέγξασθαι, ἀλλὰ καὶ δακρύοντας μηδὲν ἧττον τῶν πεπονθότων, ἀπιόντας οἴχεσθαι σιωπῇ. Πρῶτον μὲν οὖν τούτων ἀνάβητέ μοι μάρτυρες.

Ἄξιῶ τοίνυν, ὦ ἄνδρες δικασταὶ, τῷ λογισμῷ προσέχειν τὸν νοῦν· ἵνα τοὺς μὲν νεανίσκους διὰ τὸ μέγεθος τῶν συμφορῶν ἐλεήσητε, τοῦτον δ' ἅπασι τοῖς πολίταις ἄξιον ὀργῆς ἡγήσησθε. εἰς τοσαύτην γὰρ ὑποψίαν Διογείτων πάντας ἀνθρώπους εἰς ἀλλήλους καθίστησιν, ὥστε μηδὲ ζῶντας, μηδὲ ἀποθνήσκοντας, μηδὲν μᾶλλον τοῖς οἰκειοτάτοις ἢ τοῖς ἐχθίστοις πιστεύειν· ὃς ἐτόλμησε τὰ μὲν ἔξαρνος γενέσθαι, τὰ δὲ τελευτῶν ὁμολογήσας ἔχειν, εἰς δύο παῖδας καὶ ἀδελφὴν λῆμμα καὶ ἀνάλωμα ἐν ὀκτὼ ἔτεσιν, ἑπτὰ τάλαντα ἀργυρίου, καὶ ἑπτακισχιλίας δραχμὰς ἀποδεῖξαι· καὶ εἰς τοῦτο ἦλθεν ἀναισχυντίας, ὥστε οὐκ ἔχων, ὅπου στρέψειε τὰ χρήματα, εἰς ὄψον μὲν δυοῖν παιδίοιν καὶ ἀδελφῇ πέντε ὀβολοὺς τῆς ἡμέρας ἐλογίζετο, εἰς ὑποδήματα δὲ καὶ εἰς γναφεῖον [ἱμάτια,] καὶ εἰς κουρεῖον οὐκ ἦν αὐτῷ κατὰ μῆνα οὐδὲ κατ' ἐνιαυτὸν γεγραμμένα· συλλήβδην δὲ παντὸς τοῦ χρόνου, πλεῖον ἢ τάλαντον ἀργυρίου. εἰς δὲ τὸ μνῆμα τοῦ πατρὸς οὐκ ἀναλώσας πέντε καὶ εἴκοσι μνᾶς, ἐκ πεντακισχιλίων δραχμῶν, τὸ μὲν ἥμισυ, αὐτῶν τίθησι τούτοις λελογίσθαι. εἰς Διονύσια τοίνυν, ὦ ἄνδρες δικασταὶ, (οὐκ ἄτοπον γάρ μοι δοκεῖ καὶ περὶ τούτου μνησθῆναι) ἑκκαίδεκα

δραχμῶν ἀπέφαινεν ἐωνημένον ἀρνίον· καὶ τούτων τὰς ὀκτὼ δραχμὰς ἐλογίζετο τοῖς παισὶν· ἐφ' ὧν ἡμεῖς οὐχ ἥκιστα ὠργίσθημεν. οὕτως, ὦ ἄνδρες, ἐν ταῖς μεγάλαις ζημίαις ἐνίοτε οὐχ ἧττον τὰ μικρὰ λυπεῖ τοὺς ἀδικουμένους. λίαν γὰρ φανερὰν τὴν πονηρίαν τῶν ἀδικούντων ἐπιδείκνυσιν. εἰς τοίνυν τὰς ἄλλας ἑορτὰς καὶ θυσίας ἐλογίσατο αὐτοῖς πλέον ἢ τετρακισχιλίας δραχμὰς ἀνηλωμένας, ἕτερά τε παμπληθῆ, ἃ πρὸς τὸ κεφάλαιον συνελογίζετο· ὥσπερ διὰ τοῦτο ἐπίτροπος τῶν παίδων καταλειφθεὶς, ἵνα γράμματα αὐτοῖς ἀντὶ τῶν χρημάτων ἀποδείξειε, καὶ πενεστάτους ἀντὶ πλουσίων ἀποφήνειε· καὶ ἵνα, εἰ μέν τις αὐτοῖς πατρικὸς ἐχθρὸς ἦν, ἐκείνου μὲν ἐπιλάθωνται, τῷ δ', ἐπεὶ τῶν πατρῴων εἰσὶν ἀπεστερημένοι, πολεμῶσι. καίτοι εἰ ἐβούλετο δίκαιος εἶναι περὶ τοὺς παῖδας, ἐξῆν αὐτῷ, κατὰ τοὺς νόμους, οἳ κεῖνται περὶ τῶν ὀρφανῶν καὶ τοῖς ἀδυνάτοις τῶν ἐπιτρόπων καὶ τοῖς δυναμένοις, μισθώσασι τὸν οἶκον, ἀπηλλαγμένοις πολλῶν πραγμάτων· ἢ γῆν πριαμένοις, ἐκ τῶν προσιόντων τοὺς παῖδας τρέφειν. καὶ ὁπότερον τούτων ἐποίησεν, οὐδενὸς ἂν ἧττον Ἀθηναίων πλούσιοι ἦσαν. νῦν δέ μοι δοκεῖ οὐδεπώποτε διανοηθῆναι, ὡς φανερὰν καταστήσων τὴν οὐσίαν, ἀλλ' ὡς αὐτὸς ἔξων τὰ τούτων· ἡγούμενος δεῖν τὴν αὐτοῦ πονηρίαν κληρονόμον εἶναι τῶν τοῦ τεθνεῶτος χρημάτων. ὃ δὲ πάντων δεινότατον, ὦ δικασταί· οὗτος γὰρ συντριηραρχῶν Ἀλέξιδι τῷ Ἀριστοδίκου, φάσκων δυοῖν δεούσας πεντήκοντα μνᾶς ἐκείνῳ συμβαλέσθαι, τὸ ἥμισυ τούτων τοῖς ὀρφα-

νοῖς οὖσι λελόγισται, οὓς ἡ πόλις οὐ μόνον παῖδας ὄντας ἀτελεῖς ἐποίησεν, ἀλλὰ καὶ, ἐπειδὰν δοκιμασθῶσιν, ἐνιαυτὸν ἀφῆκεν ἁπασῶν τῶν λειτουργιῶν. οὗτος δὲ, πάππος ὤν, παρὰ τοὺς νόμους τῆς ἑαυτοῦ τριηραρχίας παρὰ τῶν Θυγατριδῶν τὸ ἥμισυ πράττεται· καὶ ἀποπέμψας εἰς τὸν Ἀδρίαν ὁλκάδα δυοῖν ταλάντοιν, ὅτε μὲν ἀπέστελλεν, ἔλεγε πρὸς τὴν μητέρα αὐτῶν, ὅτι τῶν παίδων ὁ κίνδυνος εἴη· ἐπεὶ δὲ ἐσώθη καὶ ἐδιπλασίασεν, αὐτοῦ τὴν ἐμπορίαν ἔφασκεν εἶναι. καίτοι εἰ μὲν τὰς ζημίας τούτων ἀποδείξει, τὰ δὲ σωθέντα τῶν χρημάτων αὐτὸς ἕξει, ὅπη δὲ μὴ ἀνήλωται τὰ χρήματα, οὐ χαλεπῶς εἰς τὸν λόγον ἐγγράψει, ῥᾳδίως ἐκ τῶν ἀλλοτρίων αὐτὸς πλουτήσει. καθ' ἕκαστον μὲν οὖν, ὦ δικασταὶ, πολὺ ἂν εἴη ἔργον πρὸς ὑμᾶς λογίζεσθαι. ἐπειδὴ δὲ μόλις παρ' αὐτοῦ παρέλαβον τὰ γράμματα, μάρτυρας ἔχων, ἠρώτων Ἀριστόδικον τὸν ἀδελφὸν τοῦ Ἀλέξιδος, (αὐτὸς γὰρ ἐτύγχανε τετελευτηκώς) εἰ ὁ λόγος αὐτῷ εἴη τῆς τριηραρχίας· ὁ δὲ ἔφασκεν εἶναι. καὶ ἐλθόντες οἴκαδε, εὕρομεν Διογείτονα τέτταρας καὶ εἴκοσι μνᾶς ἐκείνῳ συμβεβλημένον εἰς τὴν τριηραρχίαν· οὗτος δὲ ἐπέδειξε δυοῖν δεούσας πεντήκοντα μνᾶς ἀνηλωκέναι, ὥστε τούτοις λελογίσθαι ὅσονπερ ὅλον τὸ ἀνάλωμα αὐτῷ γεγένηται. καίτοι τί αὐτὸν οἴεσθε πεποιηκέναι περὶ ὧν αὐτῷ οὐδεὶς σύνοιδεν, ἀλλ' αὐτὸς μόνος διεχείριζεν, ὅς ἃ δι' ἑτέρων ἐπράχθη, καὶ οὐ χαλεπὸν ἦν περὶ τούτων πυθέσθαι, ἐτόλμησε ψευσάμενος, τέτταρσι καὶ εἴκοσι μναῖς τοὺς αὑτοῦ Θυγατριδοῦς ζημιῶσαι; καί μοι ἀνάβητε τούτων μάρτυρες. ΜΑΡ-

ΤΥΡΕΣ. Τῶν μὲν μαρτύρων ἀκηκόατε, ὦ δικασταί. ἐγὼ δ' ὅσα τελευτῶν ὡμολόγησεν αὐτὸς ἔχειν χρήματα, ἑπτὰ τάλαντα καὶ τετταράκοντα μνᾶς, ἐκ τούτων αὐτῶν λογιοῦμαι, πρόσοδον μὲν οὐδεμίαν ἀποφαίνων, ἀπὸ δὲ τῶν ὑπαρχόντων ἀναλίσκων· καὶ θήσω ὅσον οὐδεὶς πώποτε ἐν τῇ πόλει, εἰς δύο παῖδας καὶ ἀδελφὴν, καὶ παιδαγωγὸν καὶ θεράπαιναν, χιλίας δραχμὰς ἑκάστου ἐνιαυτοῦ, μικρῷ ἔλαττον ἢ τρεῖς δραχμὰς τῆς ἡμέρας. ἐν ὀκτὼ ἔτεσιν αὗται γίνονται ὀκτακισχίλιαι δραχμαὶ, καὶ ἀποδείκνυνται ἓξ τάλαντα περιόντα τῶν ἑπτὰ ταλάντων καὶ εἴκοσι μναῖ. οὐ γὰρ ἂν δύναιτο ἀποδεῖξαι οὔθ' ὑπὸ τῶν λῃστῶν ἀπολωλεκὼς, οὔτε ζημίαν εἰληφὼς, οὔτε χρήσταις ἀποδεδωκώς.

ΛΥΣΙΟΥ

ΛΟΓΟΣ ΟΛΥΜΠΙΑΚΟΣ.

Ἄλλων τε πολλῶν καὶ καλῶν ἔργων ἕνεκα, ὦ ἄνδρες, ἄξιον Ἡρακλέους μεμνῆσθαι, καὶ ὅτι τόνδε τὸν ἀγῶνα πρῶτος συνήγειρε δι' εὔνοιαν τῆς Ἑλλάδος. ἐν μὲν γὰρ τῷ τέως χρόνῳ ἀλλοτρίως αἱ πόλεις πρὸς ἀλλήλας διέκειντο· ἐπειδὴ δὲ ἐκεῖνος τοὺς τυράννους ἔπαυσε, καὶ τοὺς ὑβρίζοντας ἐκώλυσεν, ἀγῶνα μὲν σωμάτων ἐποίησε, φιλοτιμίαν δὲ πλούτῳ, γνώμης δ' ἐπι-

δειξιν ἐν τῷ καλλίστῳ τῆς Ἑλλάδος· ἵνα τούτων δὲ πάντων ἕνεκα εἰς τὸ αὐτὸ συνέλθωμεν, τὰ μὲν ὀψόμενοι, τὰ δὲ ἀκουσόμενοι. ἡγήσατο γὰρ τὸν ἐνθάδε σύλλογον ἀρχὴν γενέσθαι τοῖς Ἕλλησι τῆς πρὸς ἀλλήλους φιλίας. ἐκεῖνος μὲν οὖν ταῦθ' ὑφηγήσατο· ἐγὼ δ' ἥκω οὐ μικρολογησόμενος, οὐδὲ περὶ τῶν ὀνομάτων μαχούμενος. ἡγοῦμαι γὰρ ταῦτα ἔργα μὲν εἶναι σοφιστῶν ἧλιν ἀχρήστων καὶ σφόδρα βίου δεομένων· ἀνδρὸς δὲ ἀγαθοῦ καὶ πολίτου πολλοῦ ἀξίου, περὶ τῶν μεγίστων συμβουλεύειν· ὁρῶν οὕτως αἰσχρῶς διακειμένην τὴν Ἑλλάδα, καὶ πολλὰ μὲν αὐτῆς ὄντα ὑπὸ τῷ βαρβάρῳ, πολλὰς δὲ πόλεις ὑπὸ τυράννων ἀναστάτους γεγενημένας. καὶ ταῦτα εἰ μὲν δι' ἀσθένειαν ἐπάσχομεν, στέργειν ἂν ἦν ἀνάγκη τὴν τύχην· ἐπειδὴ δὲ διὰ στάσιν καὶ τὴν πρὸς ἀλλήλους φιλονεικίαν, πῶς οὐκ ἄξιον τῶν μὲν παύσασθαι, τὰ δὲ κωλῦσαι; εἰδότας, ὅτι φιλονεικεῖν μέν ἐστιν εὖ πραττόντων, γνῶναι δὲ τὰ βέλτιστα τῶν αὐτῶν ὁρῶμεν γὰρ τοὺς κινδύνους καὶ μεγάλους, καὶ πανταχόθεν περιεστηκότας· ἐπίστασθε δὲ, ὅτι ἡ μὲν ἀρχὴ τῶν κρατούντων τῆς θαλάσσης, τῶν δὲ χρημάτων βασιλεὺς ταμίας· τὰ δὲ τῶν Ἑλλήνων σώματα τῶν δαπανᾶσθαι δυναμένων· ναῦς δὲ πολλὰς αὐτὸς κέκτηται, πολλὰς δ' ὁ τύραννος τῆς Σικελίας. ὥστε ἄξιον τὸν μὲν πρὸς ἀλλήλους πόλεμον καταθέσθαι, τῇ δ' αὐτῇ γνώμῃ χρωμένους τῆς σωτηρίας ἀντέχεσθαι· καὶ περὶ μὲν τῶν παρεληλυθότων αἰσχύνεσθαι, περὶ δὲ τῶν μελλόντων ἔσεσθαι δεδιέναι· καὶ τοὺς προγόνους μιμεῖσθαι, οἳ τοὺς μὲν βαρβάρους

ἐποίησαν τῆς ἀλλοτρίας ἐπιθυμοῦντας, τῆς σφετέρας αὐτῶν ἐστερῆσθαι· τοὺς δὲ τυράννους ἐξελάσαντες, κοινὴν ἅπασι τὴν ἐλευθερίαν κατέστησαν. θαυμάζω δὲ Λακεδαιμονίους πάντων μάλιστα, τίνι ποτὲ γνώμῃ χρώμενοι, καιομένην τὴν Ἑλλάδα περιορῶσιν, ἡγεμόνες ὄντες τῶν Ἑλλήνων, οὐκ ἀδίκως, καὶ διὰ τὴν ἔμφυτον ἀρετήν, καὶ διὰ τὴν πρὸς τὸν πόλεμον ἐπιστήμην, μόνοι δὲ οἰκοῦντες ἀπόρθητοι, καὶ ἀτείχιστοι, καὶ ἀστασίαστοι, καὶ ἀήττητοι, καὶ τρόποις ἀεὶ τοῖς αὐτοῖς χρώμενοι· ὧν ἕνεκα ἐλπὶς ἀθάνατον τὴν ἐλευθερίαν αὐτοὺς κεκτῆσθαι, καὶ ἐν τοῖς παρεληλυθόσι κινδύνοις σωτῆρας γενομένους τῆς Ἑλλάδος, περὶ τῶν μελλόντων προορᾶσθαι. οὐ τοίνυν ὁ ἐπιὼν καιρὸς τοῦ παρόντος βελτίων. οὐ γὰρ ἀλλοτρίας δεῖ τὰς τῶν ἀπολωλότων συμφορὰς νομίζειν, ἀλλ᾽ οἰκείας· οὐδ᾽ ἀναμεῖναι, ἕως ἂν ἐπ᾽ αὐτοὺς ἡμᾶς αἱ δυνάμεις ἀμφοτέρων ἔλθωσιν, ἀλλ᾽ ἕως ἔτι ἔξεστι, τὴν τούτων ὕβριν κωλῦσαι. τίς γὰρ οὐκ ἂν ἐνοῳῶν ἐν τῷ πρὸς ἀλλήλους πολέμῳ μεγάλους αὐτοὺς γεγενημένους; ὧν οὐ μόνον αἰσχρῶν ὄντων, ἀλλὰ καὶ δεινῶν, τοῖς μὲν μεγάλα ἐξημαρτηκόσι ἐξουσία γεγένηται τῶν πεπραγμένων, τοῖς δὲ Ἕλλησιν οὐδεμία αὐτῶν τιμωρία.

ΛΥΣΙΟΥ

ΠΕΡΙ ΤΟΥ ΜΗ ΚΑΤΑΛΥΣΑΙ ΤΗ
ΤΡΙΩΝ ΠΟΛΙΤΕΙΑΝ ΑΘΗΝΗΣΙ Λ(

Ὅτε ἐνομίζομεν, ὦ Ἀθηναῖοι, τὰς γεγενημέ
φορὰς ἱκανὰ μνημεῖα τῇ πόλει καταλελεῖφθ
μηδ' ἂν τοὺς ἐπιγινομένους ἑτέρας πολιτείας
μεῖν, τότε δὴ οὗτοι τοὺς κακῶς πεπονθότ
ἀμφοτέρων πεπειραμένους, ἐξαπατῆσαι ζητο
αὐτοῖς ψηφίσμασιν, οἵσπερ καὶ πρότερον.
καὶ τούτων μὲν οὐ θαυμάζω, ὑμῶν δὲ τῶν
μένων, ὅτι πάντων εἰσὶν ἐπιλησμονέστατοι, ἢ
ἑτοιμότατοι κακῶς ὑπὸ τοιούτων ἀνδρῶν,
τύχῃ τῶν ἐκ Πειραιῶς πραγμάτων μετέσχο
γνώμῃ τῶν ἐξ ἄστεος. καίτοι τί ἔδει φεύγ
τελθεῖν, εἰ χειροτονοῦντες ὑμᾶς αὐτοὺς κι
σεσθε; ἐγὼ μὲν οὖν, ὦ Ἀθηναῖοι, οὔτε ἡλ
γένει ἀπελαυνόμενος, ἀλλ' ἀμφότερα τῶν
των πρότερος ὤν, ἡγοῦμαι ταύτην μόνη
εἶναι τῇ πόλει, ἅπασιν Ἀθηναίοις τῆς π
τεῖναι. ἐπεὶ ὅτε καὶ τὰ τείχη καὶ τὰς
χρήματα καὶ συμμάχους ἐκτησάμεθα, ο
Ἀθηναίων τινὰ ποιήσωμεν διενοούμεθ
Εὐβοεῦσιν ἐπιγαμίαν ἐποιούμεθα· νῦ
ὑπάρχοντας πολίτας ἀπελοῦμεν; οὐκ, ὁ
θώμεθα, οὐδὲ μετὰ τῶν τειχῶν καὶ τα

τῶν περιαιρησόμεθα, ὁπλίτας πολλοὺς καὶ ἱππέας καὶ τοξότας· ὧν ὑμεῖς ἀντεχόμενοι, βεβαίως δημοκρατήσεσθε, τῶν δὲ ἐχθρῶν πλέον ἐπικρατήσετε, ὠφελιμώτεροι δὲ τοῖς συμμάχοις ἔσεσθε· ἐπίστασθε γὰρ ταῖς ἐφ' ἡμῶν ὀλιγαρχίαις γεγενημέναις, καὶ οὐ τοὺς γῆν κεκτημένους ἔχοντας τὴν πόλιν, ἀλλὰ καὶ πολλοὺς μὲν αὐτῶν ἀποθανόντας, πολλοὺς δ' ἐκ τῆς πόλεως ἐκπεσόντας, οὓς ὁ δῆμος καταγαγών, ὑμῖν μὲν τὴν ὑμετέραν ἀπέδωκεν, αὐτὸς δὲ ταύτης οὐκ ἐτόλμησε μετασχεῖν. ὥστε, ἂν ἔμοιγε πείθησθε, οὐ τοὺς εὐεργέτας, καθὸ δύνασθε, τῆς πατρίδος ἀποστερήσετε, οὐδὲ τοὺς λόγους πιστοτέρους τῶν ἔργων, οὐδὲ τὰ μέλλοντα τῶν γεγενημένων νομιεῖτε· ἄλλως τε καὶ μεμνημένοι τῶν περὶ τῆς ὀλιγαρχίας μαχομένων, οἱ τῷ μὲν λόγῳ τῷ δήμῳ πολεμοῦσι, τῷ δὲ ἔργῳ τῶν ὑμετέρων ἐπιθυμοῦσιν· ἅπερ κτήσονται, ὅταν ὑμᾶς ἐρήμους συμμάχων λάβωσιν. εἶτα τοῖς τῶν ἡμῖν ὑπαρχόντων ἐρῶσι τίς ἔσται σωτηρία τῇ πόλει, εἰ μὴ ποιήσομεν ἃ Λακεδαιμόνιοι κελεύουσιν; ἐγὼ δὲ τούτους εἰπεῖν ἀξιῶ, τί τῷ πλήθει περιγενήσεται, εἰ ποιήσαιμεν ἃ ἐκεῖνοι προστάττουσιν. εἰ δὲ μή, πολὺ κάλλιον μαχομένους ἀποθνήσκειν, ἢ φανερῶς ἡμῶν αὐτῶν θάνατον καταψηφίσασθαι. ἡγοῦμαι γὰρ, ἐὰν μὴ πείθω, ἀμφοτέροις κοινὸν εἶναι κίνδυνον. ὁρῶ δὲ Ἀργείους καὶ Μαντινέας τὴν αὐτὴν ἔχοντας γνώμην, τὴν αὐτῶν οἰκοῦντας, τοὺς μὲν, ὁμόρους ὄντας Λακεδαιμονίοις, τοὺς δὲ, ἐγγὺς οἰκοῦντας, καὶ τοὺς μὲν οὐδὲν ἡμῶν πλείους, τοὺς δὲ οὐδὲ τρισχιλίους ὄντας. ἴσασι γὰρ, ἔτι, κἂν πολλάκις εἰς τὴν τούτων ἐμβάλωσι, πολλάκις

αὐτοῖς ἀπαντήσονται ὅπλα λαβόντες. ὥστε οὐ
ὁ κίνδυνος αὐτοῖς δοκεῖ εἶναι, ἐὰν μὲν νικήσωσ
τους καταδουλώσεσθαί γε, ἐὰν δὲ ἡττηθῶσι,
αὐτοὺς τῶν ὑπαρχόντων ἀγαθῶν ἀποστερῆσα
δ' ἂν ἄμεινον πράττωσι, τοσούτῳ ἐπιθυμοῦσι
νεύειν. εἴχομεν δὲ, ὦ ἄνδρες, καὶ ἡμεῖς ταύτην τ
γνώμην, ὅτε τῶν Ἑλλήνων ἤρχομεν, καὶ ἐδοκοῦμ
καλῶς βουλεύεσθαι, περιορῶντες μὲν τὴν χώραν
μενομένην, οὐ νομίζοντες δὲ χρῆναι περὶ αὐτῆς δια
μάχεσθαι. ἄξιον γὰρ ἦν, ὀλίγων ἀμελοῦντας, πολλῶν
ἀγαθῶν φείσασθαι. νῦν δὲ, ἐπεὶ ἐκείνων μὲν ἅπάν
των μάχῃ ἐστερήμεθα, ἡ δὲ πατρὶς ἡμῶν λέλειπται,
ἴσμεν, ὅτι ὁ κίνδυνος οὗτος μόνος ἔχει τὰς ἐλπίδας
τῆς σωτηρίας. ἀλλὰ γὰρ χρὴ ἀναμνησθέντας, ὅτι ἤδη
καὶ ἑτέροις ἀδικουμένοις βοηθήσαντες, ἐν τῇ ἀλλο-
τρίᾳ πολλὰ τρόπαια τῶν πολεμίων ἐστήσαμεν, ἄνδρας
ἀγαθοὺς περὶ τῆς πατρίδος καὶ ἡμῶν αὐτῶν γίνε-
σθαι· πιστεύοντας μὲν τοῖς θεοῖς, καὶ ἐλπίζοντας
ἐπὶ τὸ δίκαιον μετὰ τῶν ἀδικουμένων ἕσεσθαι. δει-
νὸν γὰρ ἂν εἴη, ὦ Ἀθηναῖοι, εἰ, ὅτε μὲν ἐφεύγομεν,
ἐμαχόμεθα Λακεδαιμονίοις, ἵνα κατέλθωμεν, κα-
τελθόντες δὲ φευξόμεθα, ἵνα μὴ μαχώμεθα. οὐκ οὖν
αἰσχρὸν, εἰ εἰς τοῦτο κακίας ἥξομεν, ὥστε οἱ μὲν
πρόγονοι καὶ ὑπὲρ τῆς τῶν ἄλλων ἐλευθερίας Ἑλλή-
νων διεκινδύνευον, ὑμεῖς δὲ οὐδὲ ὑπὲρ τῆς ὑμετέρας
αὐτῶν τολμᾶτε πολεμεῖν;